Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0001

Zur
Gräfl. vom Hagen'schen
Majorats - Bibliothek
MÖCKERN
gehörig.
№ 5068

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0002

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0003

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0004

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0005

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0006

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0008

# ΛΟΥΚΙΑΝΟΥ ΣΑ-
# ΜΟΣΑΤΕΩΣ ΔΙΑΛΟΓΟΙ ΟΥ-
# ράνιοι, ἐνάλιοι, καὶ νεκρικοί.

**LVCIANI SAMOSATENSIS**
Dialogi Cœlestes, Marini, & Inferni, poëticarum fabularum sylua, quibus nihil hoc saltem in genere utilius prælegi pueris in scholis potest: adiectis etiam propter singularem quandam elegantiam, eiusdem Menippo & Timone.

SEB. HEYDEN LECTORI.

*Qui non Græca simul iungit documenta Latinis,*
*Is uerè docti nomen habere nequit.*
*Ergo puer paruo coëmas hunc ære libellum,*
*Quo bene percepto, tum quoque Græca scies.*

BASILEAE.

i

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0010

# OPTIMAE SPEI ADOLESCENti Alexandro Peyero Scaphuſiano, Ioan. Oporinus s.

*NON eſt aliud hoc tempore, chariß. Alexander, quod in iuuentutis inſtitutione quibuſdam in ciuitatibus recepta hodie magis improbè, quàm quòd, dum reliqua quibus teneri puerorum animi imbuantur uirtutum ac diſciplinarum præcepta mediocriter etiam, & quantũ fortè ſatis eſt obſeruant, poëtarum adeò nullam habent rationem, ut non ſolum nihil eos afferre neceſſarij emolumenti illis, ſed obeſſe etiam nõ pauci exiſtiment: quũ tamen uix aliud quicquã rudibus adhuc, et ad ſacratiß. illa philoſophiæ adyta nondum initiatis proponi accommodatius utilius úe poßit, quàm fabularũ omnis generis, maxime uero poëticarũ explicatio: quibus ſemel ita ut oportet perceptis, ad omnes omniũ artium atq; ſcientiarũ ſcriptores iuuenũ animi inſtructiores euadũt. Equidem non parũ multos reperias hac ætate, adultiores quoq; iam, quibus per cætera non male collocatam in quouis ſtudiorũ genere operam quis dicat: uerũ quoties poëticum eiuſcemodi aliquid occurrit etiã apud eos autores, ubi ne per ſomnium quidem tale quid unquã ſe offenſuros cogitaſſent, ibi ſtatim tanquã ad ſcopulum delati hærent, neq; ſe explicare, niſi Delij cuiuſpiam natatoris (quod aiunt) ope, hoc eſt, adhibito in cõſiliũ Dictionario aliquo, poſſunt. Vnde uix ullorũ aliorũ cuiuſcunq; ordinis*

aut loci scriptorũ maiorem hodie gratiam apud plerosq; uideas, atq; uulgariũ quorundam id genus Vocabulariorũ, ad quæ tanquam ad oraculum Delphicum confugiũt, quoties dignus uindice nodus (ut scitè ab Horatio dictũ est) inciderit, quicunq; prima etiamnum ætate, quæ talibus studijs exerceri potissimũ, atq; ita parari ad seria debebat, nihil poëticarum fabularũ, aut saltẽ obiter attigere. Multo certè sapientius ueteres tam Græci quàm Latini, ab Homero quidẽ illi, hi uero à Vergilio, atq; omnino à poëta aliquo formari os tenerum pueri, mentemq; existimabãt oportere: atq; ita rectè semel positis studiorum puerilium uelut rudimentis, ad altiora deinde felicius certiusq; addiscenda cõcedebant. Eodẽ quoq; consilio Lucianũ Dialogos hosce, tanquam ποιητικῶν μύθων syluam quandam ac summã scripsisse arbitrati, gratam rem nos studiosis facturos putauimus, si denuò eos seorsim excudendos, uti in scholis prælegi pueris possent, curaremus. Præter enim utilitatem illam sanè haud leuẽ, quam è solida fabularũ cognitione sunt consecuturi, locupletẽ quoq; linguæ Græcæ, ex hisce melius omnino quàm ullo alio autore addiscendæ suppellectilem, ob uarietatẽ argumenti, uerborumq; ac compositionis elegantiam, genuinamq; adeò eloquentiæ Atticæ festiuitatem, quibus ferè præter cæteros pollet hic autor, sibi parabunt. Atq; ut cõmendatior etiam aliquanto studiosis posterior hæc illorum editio esset, duos ex reliquo adhuc operum lepidissimi autoris huius penu depromptos

Dialogos

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0012

Dialogos adijcere libuit, Menippum uidelicet, ac Timonem. quorum altero fortunæ bona (cuiusmodi opes, gloria, dignitates, aliaq; id genus sunt) quæ uulgo homines admirantur ac stupent, uana atq; incerta omnia, miserosq; plerunq; exitus sortiri: priuatorum uero hominũ uitam esse optimã atq; tutissimam ostendit: altero, quibus potissimũ hominibus obuenire soleant diuitiæ, quoq; retineantur pacto, & quales sui possessores reddant, quisq; uerus earum usus sit, docet. Hoc igitur quicquid est libelli, mi Alexander, munusculum mole quidem exiguum, sed magnas in sinu opes cõplectens, tuis auspicijs prodire nunc denuò in publicum uoluimus: partim ut animũ erga te nostrum qualicunq; occasione oblata declararemus, quem cùm ob raræ probitatis indolem, tum singulare in bonas literas atq; artes studium, quibus te dignum & D. Alexandro patre honestiss. prudentissimoq; uiro filium, & opt. doctissimoq; D. Martino Peyero auunculo nepotem exhibes, plurimum semper amaui: partim uerò, ut exemplo tuo ad uirtutum ac bonarum artium studia excitaremus etiam alios, præcipue aũt æquales tuos, quorũ unà tecum aliquando curam à Repub. nostra Basiliensi commissam nobis gessimus. Quod si intellexero non fuisse tibi ingratum qualecunq; hoc animi erga te mei testimoniũ, dabo operam, ut quamlibet exigui huiusce munusculi fructũ aliquando percipias multo ampliorem. Bene uale. Basileæ, prid. Id. Nouembr. Anno Salutis M. D. XLIIII.

## ΘΕΩΝ ΔΙΑΛΟΓΟΙ.


| | |
|---|---|
| προμηθέως καὶ διός. | 1 |
| ἔρωτος καὶ διός. | 2 |
| διός καὶ ἑρμοῦ. | 3 |
| διός καὶ γανυμήδους. | 4 |
| ἥρας καὶ διός. | 7.10 |
| ἀπόλλωνος καὶ ἡφαίστου. | 13 |
| ἡφαίστου καὶ διός. | 15 |
| ποσειδῶνος καὶ ἑρμοῦ. | 16 |
| ἑρμοῦ καὶ ἡλίου. | 17 |
| ἀφροδίτης καὶ σελήνης. | 19 |
| ἀφροδίτης καὶ ἔρωτος. | 20 |
| διός, ἀσκληπιοῦ, καὶ ἡρακλέους. | 22 |
| ἑρμοῦ καὶ ἀπόλλωνος. | 23.25 |
| ἥρας καὶ λητοῦς. | 26 |
| ἀπόλλωνος καὶ ἑρμοῦ. | 28 |
| ἥρας καὶ διός. | 29 |
| ἀφροδίτης καὶ ἔρωτος. | 31 |
| θεῶν κρίσις. | 32 |
| ἄρεως καὶ ἑρμοῦ. | 42 |
| πανός καὶ ἑρμοῦ. | 44 |
| ἀπόλλωνος καὶ διονύσου. | 46 |
| ἑρμοῦ καὶ μαίας. | 47 |


## ΕΝΑΛΙΟΙ ΔΙΑΛΟΓΟΙ.


| | |
|---|---|
| δωρίδος καὶ γαλατείας. | 49 |
| κύκλωπος καὶ ποσειδῶνος. | 51 |


ἀλφειοῦ

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0014

ἀλφειοῦ καὶ ποσειδῶνος. 53
μενελάου καὶ πρωτέως. 54
πανόπης καὶ γαλήνης. 55
τρίτωνος, ἀμυμώνης, καὶ ποσειδῶνος. 56
νότου καὶ ζεφύρου. 58
ποσειδῶνος καὶ δελφίνων. 59
ποσειδῶνος καὶ νηρείδων. 60
ἴριδος καὶ ποσειδῶνος. 62
ξάνθου καὶ θαλάσσης. 63
δωρίδος καὶ θέτιδος. 64
ποσειδῶνος καὶ ἐνιπέως. 65
τρίτωνος καὶ νηρείδων. 66
ζεφύρου καὶ νότου. 68

## ΝΕΚΡΙΚΟΙ ΔΙΑΛΟΓΟΙ.

διογένους καὶ πολυδεύκους. 70
πλούτων, καὶ περὶ μενίππου. 73
μενίππου, ἀμφιλόχου, καὶ τροφωνίου. 74
ἑρμοῦ καὶ χάρωνος. 75
πλούτωνος καὶ ἑρμοῦ. 77
τερψίωνος καὶ πλούτωνος. 78
ζηνοφάντου καὶ καλλιδημίδου. 81
κνήμωνος καὶ δαμνίππου. 82
σιμύλου καὶ πολυστράτου. 83
χάρωνος καὶ ἑρμοῦ. 85
κράτητος καὶ διογένους. 91
ἀλεξάνδρου, ἀννίβου, μίνωος, καὶ σκιπίωνος. 95

διογέ-

διογένους καὶ ἀλεξάνδρου. 98
ἀλεξάνδρου καὶ φιλίππου. 101
ἀχιλλέως καὶ ἀντιλόχου. 104
διογένους καὶ ἡρακλέους. 106
μενίππου καὶ ταντάλου. 108
μενίππου καὶ ἑρμοῦ. 109
αἰακοῦ, πρωτεσιλάου, μενελάου, καὶ πάριδος. 110
μενίππου καὶ αἰακοῦ. 112
μενίππου καὶ κερβέρου. 115
χάρωνος καὶ μενίππου. 116
πλούτωνος καὶ πρωτεσιλάου. 117
διογένους καὶ μαυσώλου. 119
νιρέως, θερσίτου, καὶ μενίππου. 120
μενίππου καὶ χείρωνος. 121
διογένους, ἀντισθένους, καὶ κράτητος. 123
μενίππου καὶ τειρεσίου. 127
αἴαντος καὶ ἀγαμέμνονος. 129
μίνωος καὶ σωστράτου. 130
μένιππος, ἢ νεκυομαντεία. 132
τίμων, ἢ μισάνθρωπος. 150

Τέλος.

# ΘΕΩΝ ΔΙΑΛΟΓΟΙ.

## ΠΡΟΜΗΘΕΩΣ ΚΑΙ ΔΙΟΣ.

ΛΥΣΟΝ με ὦ Ζεῦ. δεινὰ γὰρ ἤδη πέπονθα. Ζεύς. λύσω σε φῄς, ὃν ἐχρῆν βαρυτέρας πέδας ἔχοντα, καὶ τὸν Καύκασον ὅλον ὑπὲρ κεφαλῆς ἐπικείμενον, ὑπὸ ἑκκαίδεκα γυπῶν μὴ μόνον κείρεσθαι τὸ ἧπαρ, ἀλλὰ καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττεσθαι, ἀνθ᾽ ὧν τοιαῦθ᾽ ἡμῖν ζῶα ἀνθρώπους ἔπλασας, καὶ τὸ πῦρ ἔκλεψας, καὶ τὰς γυναῖκας ἐδημιούργησας; ἃ μὲν γὰρ ἐμὲ ἐξηπάτησας ἐν τῇ διανομῇ τῶν κρεῶν, ὀστᾶ πιμελῇ κεκαλυμμένα μοι παραθείς, καὶ τὴν ἀμείνω τῶν μοιρῶν σεαυτῷ φυλάττων, τί χρὴ λέγειν; Προ. οὔκουν ἱκανὴν ἤδη τὴν δίκην ἐκτέτικα, τοσοῦτον χρόνον τῷ Καυκάσῳ προσηλωμένος, τὸν κάκιστα ὀρνέων ἀπολούμενον ἀετὸν τρέφων τῷ ἥπατι. Ζ. οὐδὲ πολλοστημόριον τοῦτο, ὧν σε δεῖ παθεῖν. Προ. καὶ μὴν οὐκ ἀμισθί με λύσεις ὦ Ζεῦ, ἀλλά σοι μηνύσω πάνυ ἀναγκαῖον. Ζ. κατασοφίζῃ με ὦ Προμηθεῦ; Προ. καὶ τί πλέον ἕξω; οὐ γὰρ ἀγνοήσεις αὖθις ἔνθα ὁ Καύκασός ἐστιν, οὐδ᾽ ἀπορήσεις δεσμῶν, ἤν τι τεχνάζων ἁλίσκωμαι. Ζ. εἰπὲ πρότερον ὅντινα μισθὸν ἀποτίσῃς ἀναγκαῖον ἡμῖν ὄντα.

τα. Προ. ἢν εἴπω ἐφ᾽ ὅ, τι βαδίζεις νῦν, ἀξιόπιστος ἔσομαί σοι καὶ περὶ τῶν ὑπολοίπων μαντευόμενος; Ζεύς. πῶς γὰρ οὔ; Προ. παρὰ τὴν Θέτιν, συνεσόμενος αὐτῇ. Ζεύς. τουτὶ μὲν ἔγνως. τί δ᾽ οὖν τὸ ἐπὶ τούτῳ; δοκεῖς γάρ τι ἀληθὲς ἐρεῖν. Προ. μηδὲν ὦ Ζεῦ κοινωνήσῃς τῇ Νηρεΐδι. ἢν γὰρ αὕτη κυοφορήσῃ ἐκ σοῦ, τὸ τεχθὲν ἴσα ἐργάσεταί σε, οἷα καὶ σὺ ἔδρασας τὸν Κρόνον. Ζεύς. τοῦτό φῂς, ἐκπεσεῖσθαί με τῆς ἀρχῆς; Προ. μὴ γένοιτο ὦ Ζεῦ. πλὴν τοιοῦτό τι ἡ μίξις αὐτῆς ἀπειλεῖ. Ζεύς. χαιρέτω τοιγαροῦν ἡ Θέτις, σὲ δὲ ὁ Ἥφαιστος ἐπὶ τούτοις λυσάτω.

ΕΡΩΤΟΣ ΚΑΙ ΔΙΟΣ. Ερ.

Ἀλλ᾽ εἰ καί τι ἥμαρτον ὦ Ζεῦ, σύγγνωθί μοι. παιδίον γάρ εἰμι, καὶ ἔτι ἄφρων. Ζ. σὺ παιδίον ὦ Ἔρως, ὃς ἀρχαιότερος εἶ πολὺ τοῦ Ἰαπετοῦ; ἢ διότι μὴ πώγωνα, μηδὲ πολιὰς ἔφυσας, διὰ ταῦτα καὶ βρέφος ἀξιοῖς νομίζεσθαι, γέρων καὶ πανοῦργος ὤν; Ερ. τί δέ σε ἠδίκησα ὁ γέρων ὡς φῂς ἐγώ, διότι με καὶ πεδῆσαι διανοῇ; Ζ. σκόπει ὦ κατάρατε εἰ μικρά, ὃς ἐμοὶ μὲν οὕτως ἐντρυφᾷς, ὥστε μηδέν ἐστιν ὃ μὴ πεποίηκάς με. σάτυρον. ταῦρον. χρυσόν. κύκνον. ἀετόν. ἐμοῦ δὲ ὅλως οὐδεμίαν ἥντινα ἐρασθῆναι πεποίηκας. οὐδὲ συνῆκα ἡδὺς γυναικὶ διὰ σὲ γεγενημένος, ἀλλά με δεῖ μαγγανεύειν ἐπ᾽ αὐτάς,

τας, καὶ κρύπτειν ἐμαυτόν. αἱ δὲ, τὸν μὲν ταῦρον, ἢ κύκνον φιλοῦσιν. ἐμὲ δὲ ἢν ἴδωσι, τεθνᾶσιν ὑπὸ τοῦ δέους. Ερ. εἰκότως. οὐ γὰρ φέρουσιν ὦ Ζεῦ, θνηταὶ οὖσαι τὴν πρόσοψιν. Ζ. πῶς οὖν τὸν Ἀπόλλω ὁ Βράγχος, καὶ ὁ Ὑάκινθος φιλοῦσιν; Ερ. ἀλλ' ἡ Δάφνη κἀκεῖνον ἔφευγε, καίτοι κομήτην καὶ ἀγένειον ὄντα. εἰ δ' ἐθέλεις ἐπέραστος εἶναι, μὴ ἐπίσειε τὴν αἰγίδα, μηδὲ τὸν κεραυνὸν φέρε, ἀλλ' ὡς ἥδιστον ποίει σεαυτὸν, ἑκατέρωθεν καθειμένος βοστρύχους, τῇ μίτρᾳ τούτους ἀνειλημμένος. πορφυρίδα ἔχε. ὑποδέου χρυσίδας. ὑπ' αὐλῷ καὶ τυμπάνοις εὔρυθμα βαῖνε. καὶ ὄψει ὅτι πλείους ἀκολουθήσουσί σοι τῶν Διονύσου Μαινάδων. Ζ. ἄπαγε. οὐκ ἂν δεξαίμην ἐπέραστος εἶναι, τοιοῦτος γενόμενος. Ερ. οὐκοῦν ὦ Ζεῦ, μηδὲ ἐρᾶν θέλε. ῥᾴδιον γὰρ τοῦτό γε. Ζ. οὔκ. ἀλλ' ἐρᾶν μὲν, ἀπραγμονέστερον δ' αὐτῶν ἐπιτυγχάνειν. ἐπὶ τούτοις αὐτοῖς ἀφίημί σε.

## ΔΙΟΣ ΚΑΙ ΕΡΜΟΥ. Ζ.

Την τοῦ Ἰνάχου παῖδα τὴν καλὴν οἶσθα ὦ Ἑρμῆ; Ερ. ναὶ, τὴν Ἰὼ λέγεις. Ζ. οὐκ ἔτι παῖς ἐκείνη ἐστὶν, ἀλλὰ δάμαλις. Ερ. τεράστιον τοῦτο. τῷ τρόπῳ δ' ἐνηλλάγη; Ζ. ζηλοτυπήσασα ἡ Ἥρα μετέβαλλεν αὐτήν. ἀλλὰ καὶ καινόν ἄλλο τι δεινὸν ἐπιμεμηχάνηται τῇ κακοδαίμονι. βουκόλον τινὰ πολυόμματον Ἄργον τοὔνομα ἐπέστησεν,

ὃς νέμει τὴν δάμαλιν, ἄϋπνος ὤν. Ερ. τί οὖν ἡμᾶς χρὴ ποιεῖν; Ζ. καταπτάμενος ἐς τὴν Νεμέαν, ἐκεῖ δέ που ὁ Αργος βουκολεῖ, ἐκεῖνον μὲν ἀπόκτεινον. τὴν δὲ Ιὼ διὰ τοῦ πελάγους ἐς τὴν Αἴγυπτον ἀπαγαγὼν, Ισιν ποίησον. καὶ τὸ λοιπὸν ἔστω θεὸς τοῖς ἐκεῖ, καὶ τὸν Νεῖλον ἀναγέτω, καὶ τοὺς ἀνέμους ἐπιπεμπέτω, καὶ σωζέτω τοὺς πλέοντας.

## ΔΙΟΣ ΚΑΙ ΓΑΝΥΜΗΔΟΥΣ.

Αγε ὦ Γανύμηδες, ἥκομεν γὰρ ἔνθα ἐχρῆν, φίλησόν με ἤδη, ὅπως εἰδῇς οὐκέτι ῥάμφος ἀγκύλον με ἔχοντα, οὐδ' ὄνυχας ὀξεῖς, οὐ πτερὰ, οἷος ἐφαινόμην σοι πτηνὸς εἶναι δοκῶν. Γα. ἄνθρωπε, οὐκ ἀετὸς ἄρτι ἦσθα, καὶ καταπτάμενος ἥρπασάς με ἀπὸ μέσου τοῦ ποιμνίου; πῶς οὖν τὰ μὲν πτερὰ ἐκεῖνά σοι ἐξερρύηκε, σὺ δ' ἄλλος ἤδη ἀναπέφηνας; Ζ. ἀλλ' οὔτε ἄνθρωπος, ὃν ὁρᾷς ὦ μειράκιον, οὔτε ἀετός. ὁ δὲ πάντων βασιλεὺς τῶν θεῶν οὗτός εἰμι, πρὸς τὸν καιρὸν ἀλλάξας ἐμαυτόν. Γα. τί φῄς; σὺ γὰρ ὁ Πὰν ἐκεῖνος; εἶτα πῶς σύριγγα οὐκ ἔχεις, οὐδὲ κέρατα, οὐδὲ λάσιος εἶ τὰ σκέλη; Ζ. μόνον γὰρ ἐκεῖνον ἡγῇ θεόν; Γα. ναί. καὶ θύομέν γε αὐτῷ ἔνορχιν τράγον ἐπὶ τὸ σπήλαιον ἄγοντες, ἔνθα ἕστηκε. σὺ δὲ ἀνδραποδιστής τις εἶναί μοι δοκεῖς. Ζ. εἰπέ μοι, Διὸς δὲ οὐκ ἤκουσας ὄνομα, οὐδὲ βωμὸν εἶδες ἐν τῷ Γαργάρῳ

γέρων τὸν ὕοντα, καὶ βροντῶντα, καὶ ἀστραπὰς
ποιοῦντα; Γα. σὺ ὦ βέλτιστε φὴς εἶναι, ὃς πρώην
κατέχεας ἡμῶν τὴν πολλὴν χάλαζαν, ὁ οἰκεῖν
ὑπὲρ ἄνω λεγόμενος, ὁ ποιῶν τὸν ψόφον, ᾧ τὸν
κριὸν ὁ πατὴρ ἔθυσεν; εἶτα τί ἀδικήσαντά με
ἀνήρπασας ὦ βασιλεῦ τῶν θεῶν; τὰ δὲ πρόβατα
ἴσως οἱ λύκοι διηρπάσαντο ἤδη, ἐρήμοις ἐπιπε-
σόντες. Ζ. ἔτι γὰρ μέλει σοι τῶν προβάτων ἀθα-
νάτῳ γεγενημένῳ, καὶ ἐνταῦθα συνεσομένῳ μεθ'
ἡμῶν; Γα. τί λέγεις; οὐ γὰρ κατάξεις με ἤδη ἐς
τὴν Ἴδην τήμερον; Ζ. οὐδαμῶς. ἐπεὶ μάτην
ἀετὸς ἂν εἴην ἀντὶ θεοῦ γεγενημένος. Γα. οὐκοῦν ἐπι-
ζητήσει με ὁ πατὴρ, καὶ ἀγανακτήσει μὴ εὑρί-
σκων, καὶ πληγὰς ὕστερον λήψομαι, καταλιπὼν
τὸ ποίμνιον. Ζ. ποῦ γὰρ ἐκεῖνος ὄψεταί σε; Γα.
μηδαμῶς. ποθῶ γὰρ ἤδη αὐτόν. εἰ δ' ἀπάξεις
με, ὑπισχνοῦμαί σοι καὶ ἄλλον παρ' αὐτοῦ κριὸν τυ-
θήσεσθαι λύτρα ὑπὲρ ἐμοῦ. ἔχομεν δὲ τὸν τριετῆ
τὸν μέγαν, ὃς ἡγεῖται πρὸς τὴν νομήν. Ζ. ὡς ἀ-
φελὴς ὁ παῖς ἐστι, καὶ ἁπλοϊκός, καὶ αὐτὸ δὴ τοῦτο,
παῖς ἔτι. ἀλλ' ὦ Γανύμηδες, ἐκεῖνα μὲν πάντα
χαίρειν ἔα, καὶ ἐπιλάθου αὐτῶν, τοῦ ποιμνίου, καὶ
τῆς Ἴδης. σὺ δὲ, ἤδη γὰρ ἐπουράνιος εἶ, πολλὰ εὖ
ποιήσεις ἐντεῦθεν καὶ τὸν πατέρα, καὶ τὴν πα-
τρίδα, καὶ ἀντὶ μὲν τυροῦ καὶ γάλακτος ἀμβρο-
σίαν ἔδῃ, καὶ νέκταρ πίῃ. τοῦτο μέντοι καὶ τοῖς ἄλ-

λοις ἡμῖν αὐτὸς παρέξεις ἐγχέων. τὸ δὲ μέγιστον,
οὐκέτι ἄνθρωπος, ἀλλ' ἀθάνατος γενήσῃ, καὶ ἀ-
στέρα σου φαίνεσθαι ποιήσω κάλλιστον. καὶ ὅλως,
εὐδαίμων ἔσῃ. Γα. ἢν δὲ παίζειν ἐπιθυμήσω, τίς
συμπαίξεταί μοι; ἐν γὰρ τῇ Ἴδῃ πολλοὶ ἡλικιῶ-
ται ἦμεν. Ζ. ἔχεις κἀνταῦθα τὸν συμπαιξόμε-
νόν σοι τουτονὶ τὸν ἔρωτα, καὶ ἀστραγάλους μάλα πολ-
λούς. θάρρει μόνον, καὶ φαιδρὸς ἴσθι. καὶ μηδὲν
ἐπιπόθει τῶν κάτω. Γα. τί δὲ ὑμῖν χρήσιμος ἂν
γενοίμην; ἢ ποιμαίνειν κἀνταῦθα δεήσει; Ζ.
οὔκ. ἀλλ' οἰνοχοήσεις, καὶ ἐπὶ τοῦ νέκταρος τετά-
ξῃ, καὶ ἐπιμελήσῃ τοῦ συμποσίου. Γα. τοῦτο μὲν οὐ
χαλεπόν. οἶδα γὰρ ὡς χρὴ ἐγχέαι τὸ γάλα, καὶ
ἀναδοῦναι τὸ κισσύβιον. Ζ. ἰδοὺ πάλιν οὗτος γά-
λακτος μνημονεύει, καὶ ἀνθρώποις διακονήσεσθαι
οἴεται. ταυτὶ δ' οὐρανός ἐστι, καὶ πίνομεν ὥσπερ
ἔφην τὸ νέκταρ. Γα. ἥδιον ὦ Ζεῦ τοῦ γάλακτος;
Ζ. εἴσῃ μετ' ὀλίγον. καὶ γευσάμενος, οὐκέτι ποθή-
σεις τὸ γάλα. Γα. κοιμήσομαι δὲ ποῦ τῆς νυκτός;
ἢ μετὰ τοῦ ἡλικιώτου ἔρωτος; Ζ. οὔκ. ἀλλὰ διὰ τοῦ-
τό σε ἀνήρπασα, ὡς ἅμα καθεύδοιμεν. Γα. μόνος
γὰρ οὐκ ἂν δύναιο, ἀλλ' ἥδιόν σοι καθεύδειν μετ'
ἐμοῦ. Ζ. ναὶ μετά γε τοιούτου, οἷος εἶ σὺ Γανυμήδης,
οὕτω καλός; Γα. τί γάρ σε πρὸς τὸν ὕπνον ὀνήσει
τὸ κάλλος; Ζ. ἔχει τι θέλγητρον ἡδὺ, καὶ μαλα-
κώτερον ἐπάγει αὐτόν. Γα. καὶ μὴν ὅ γε πατὴρ

ἤχθετο

ἤχθετό μοι συγκαθεύδοντι. καὶ διηγεῖτο ἕωθεν,
ὡς ἀφέλοιμ αὐτοῦ τὸν ὕπνον στρεφόμενος καὶ λακ-
τίζων, καί τι φθεγγόμενος μεταξὺ ὁπότε καθεύ-
δοιμι. ὥστε παρὰ τὴν μητέρα ἔπεμπέ με κοιμηθη-
σόμενον ὡς τὰ πολλά. ὥρα δή σοι εἰ διὰ τοῦτο ὡς
φὴς ἀνήρπασάς με, καταθεῖναι αὖθις ἐς τὴν γῆν,
ἢ πράγματα ἕξεις ἀγρυπνῶν. ἐνοχλήσω γάρ σε
συνεχῶς στρεφόμενος. Ζ. τοῦτ᾽ αὐτό μοι τὸ ἥδι-
στον ποιήσεις, εἰ ἀγρυπνήσαιμι μετὰ σοῦ. φιλῶν
γὰρ διατελέσω πολλάκις, καὶ περιπτύσσων. Γα.
αὐτὸς ἂν εἰδείης. ἐγὼ δὲ κοιμήσομαι, σοῦ κατα-
φιλοῦντος. Ζ. εἰσόμεθα τότε τί πρακτέον. νῦν
δὲ ἄπαγε αὐτὸν ὦ Ἑρμῆ, καὶ πιόντα τῆς ἀθανα-
σίας, ἄγε οἰνοχοήσοντα ἡμῖν, διδάξας πρότερον
ὡς χρὴ ὀρέγειν τὸν σκύφον.

## ΗΡΑΣ ΚΑΙ ΔΙΟΣ. ΗΡΑ.

Ἐξ οὗ τὸ μειράκιον τοῦτο ὦ Ζεῦ, τὸ φρύγιον,
ἀπὸ τῆς Ἴδης ἁρπάσας δεῦρο ἀνήγαγες, ἔ-
λαττόν μοι προσέχεις τὸν νοῦν. Ζ. καὶ τοῦτο γὰρ ὦ
Ἥρα ζηλοτυπεῖς, ἤδη ἀφελὲς οὕτω καὶ ἀλυπό-
τατον; ἐγὼ δὲ ᾤμην ταῖς γυναιξὶ μόναις χαλε-
πήν σε εἶναι, ὁπόσαι ἂν ὁμιλήσωσιν ἐμοί. Ηρα. οὐδ᾽
ἐκεῖνα μὲν εὖ ποιεῖς, οὐδὲ πρέποντα σεαυτῷ, ὃς ἁ-
πάντων θεῶν δεσπότης ὢν, ἀπολιπὼν ἐμὲ τὴν νό-
μῳ γαμετὴν, ἐπὶ τὴν γῆν κάτει μοιχεύσων, χρυ-
σοῦν ἢ ταῦρος γενόμενος. πλὴν ἀλλ᾽ ἐκεῖναι μέν

σοι, καὶ ἐν γῇ μένουσι. τὸ δ' ἰδαῖον τουτὶ παιδίον ἁρπάσας, ἀνέπτης ὦ γεννικώτατε θεῶν. συνοικήσων ἐπὶ κεφαλήν μοι ἐπαχθέν, οἰνοχοοῦν δὴ τῷ λόγῳ. οὕτως ἠπόρεις οἰνοχόων; καὶ ἀπηγορεύκασιν ἄρα ἥ τε Ἥβη, καὶ ὁ Ἥφαιστος διακονούμενοι; σὺ δὲ καὶ τὴν κύλικα οὐκ ἂν ἄλλως λάβοις παρ' αὐτοῦ, ἢ φιλήσας πρότερον αὐτὸν, ἁπάντων ὁρώντων. καὶ τὸ φίλημά σοι ἥδιον τοῦ νέκταρος. καὶ διὰ τοῦτο οὐδὲ διψῶν, πολλάκις αἰτεῖς πιεῖν. ἐνίοτε δὲ καὶ ἀπογευσάμενος μόνον, ἔδωκας ἐκείνῳ. καὶ πιόντος ἀπολαβὼν τὴν κύλικα, ὅσον ὑπόλοιπον ἐν αὐτῇ, πίνεις, ὅθεν καὶ αὐτὸς ἔπιε, καὶ ἔνθα προσήρμοσε τὰ χείλη, ἵνα καὶ πίνῃς ἅμα καὶ φιλῇς. πρῴην δὲ ὁ βασιλεὺς, καὶ ἁπάντων πατὴρ, ἀποθέμενος τὴν αἰγίδα, καὶ τὸν κεραυνὸν, ἐκάθησο ἀστραγαλίζων μετ' αὐτοῦ, πώγωνα τηλικοῦτον καθειμένος. πάντα οὖν ὁρῶ ταῦτα, ὥστε μὴ οἴου λανθάνειν. Ζ. καὶ τί δεινὸν ὦ Ἥρα, μειράκιον οὕτω καλὸν μεταξὺ πίνοντα καταφιλεῖν, καὶ ἥδεσθαι ἀμφοῖν, καὶ τῷ φιλήματι, καὶ τῷ νέκταρι; ἢν γοῦν ἐπιτρέψω αὐτῷ κἂν ἅπαξ φιλῆσαί σε, οὐκέτι μέμψῃ μοι, προτιμότερον τοῦ νέκταρος οἰομένῳ τὸ φίλημα εἶναι. Ἡρα. παιδεραστῶν οὗτοι λόγοι. ἐγὼ δὲ μὴ οὕτω μανείην, ὡς τὰ χείλη προσενεγκεῖν τῷ μαλθακῷ τούτῳ φρυγὶ οὕτως ἐκτεθηλυμμένῳ. Ζ. μή μου λοι-

δοροῦ

φορεῖ ὦ γυναικοτάτη τοῖς παιδικοῖς. οὑτοσὶ γὰρ ὁ θηλυδρίας, ὁ βάρβαρος, ὁ μαλθακὸς, ἡδίων, καὶ ποθεινότερος. οὐ βούλομαι δ᾽ εἰπεῖν, μή σε παροξύνω ἐπὶ πλέον. Ηρα. εἴθε καὶ γαμήσειας αὐτὸν ἐμοῦ ἕνεκα. μέμνησο γοῦν οἷά μοι διὰ τὸν οἰνοχόον τοῦτον ἐμπαροινεῖς. Ζ. οὔκ. ἀλλὰ τὸν Ηφαιστον ἔδει τὸν σὸν υἱὸν οἰνοχοεῖν ἡμῖν χωλεύοντα, ἐκ τῆς καμίνου ἥκοντα, ἔτι τῶν σπινθήρων ἀνάπλεων, ἄρτι τὴν πυράγραν ἀποτεθειμένον, καὶ ἀπ᾽ ἐκείνων αὐτῶν τῶν δακτύλων λαμβάνειν ἡμᾶς τὴν κύλικα, καὶ ἐπισπασαμένους φιλῆσαι μεταξὺ, ὃν οὐδ᾽ ἂν ἡ μήτηρ σὺ ἡδέως φιλήσειας, ὑπὸ τῆς ἀσβόλου κατῃθαλωμένον τὸ πρόσωπον; ἡδέως ταῦτα. οὐ γὰρ καὶ παρὰ πολὺ ὁ οἰνοχόος ἐκεῖνος ἐμπρέπει τῷ συμποσίῳ τῶν θεῶν. ὁ Γανυμήδης δὲ, καταπεμπτέος αὖθις ἐς τὴν Ιδην. καθαρὸς γὰρ, καὶ ῥοδοδάκτυλος, καὶ ἐπισταμένως ὀρέγει τὸ ἔκπωμα. καὶ ὅ, σε λυπεῖ μάλιστα, καὶ φιλεῖ ἥδιον τοῦ νέκταρος. Ηρα. νῦν καὶ χωλὸς ὦ Ζεῦ ὁ Ηφαιστος, καὶ οἱ δάκτυλοι αὐτοῦ ἀνάξιοι τῆς σῆς κύλικος, καὶ ἀσβόλου μεστός ἐστι, καὶ ναυτιᾷς ὁρῶν αὐτὸν, ἐξ ὅτου τὸν καλὸν κομήτην τοῦτον ἡ Ιδη ἀνέθρεψε. πάλαι δὲ οὐχ ἑώρας ταῦτα, οὐδ᾽ οἱ σπινθῆρες, οὐδ᾽ ἡ κάμινος ἀπέτρεπόν σε μὴ οὐχὶ πίνειν παρ᾽ αὐτοῦ. Ζ. λυπεῖς ὦ Ηρα σεαυτὴν, οὐδὲν ἄλλο. κἀμοὶ ἐπιτείνεις τὸν ἔρωτα ζηλοτυποῦσα.

πιοῦσα. εἰ δὲ ἄχθῃ παρὰ παιδὸς ὡραίου δεχομένη τὸ ἔκπωμα, σοὶ μὲν ὁ υἱὸς οἰνοχοείτω. σὺ δὲ ὦ Γανύμηδες, ἐμοὶ μόνῳ ἀναδίδου τὴν κύλικα. καὶ ἐφ᾽ ἑκάστῃ δὶς φίλει με, καὶ ὅτε πλήρη ὀρέγοις, καὶ αὖθις ὁπότε παρ᾽ ἐμοῦ ἀπολαμβάνοις. τί τοῦτο δακρύεις; μὴ δέδιθι. οἰμώξεται γὰρ, ἤν τις σε λυπεῖν ἐθέλῃ.

## ΗΡΑΣ ΚΑΙ ΔΙΟΣ. ΗΡΑ.

Τὸν Ἰξίονα τοῦτον ὁρᾷς ὦ Ζεῦ; ποῖόν τινα τὸν τρόπον ἡγῇ; Ζ. ἄνθρωπον εἶναι χρηστὸν ὦ Ἥρα, καὶ συμποτικόν. οὐ γὰρ ἂν συνῆν ἡμῖν, ἀνάξιος τοῦ συμποσίου ὤν. Ἥρα. ἀλλ᾽ ἀνάξιός ἐστιν, ὑβριστής γε ὤν. ὥστε μηκέτι συνέστω. Ζ. τί δὲ ὕβρισε; χρὴ γὰρ οἶμαι κἀμὲ εἰδέναι. Ἥρα. τί δ᾽ ἄλλο; καὶ γὰρ αἰσχύνομαι εἰπεῖν αὐτό, τοιοῦτόν ἐστιν ὃ ἐτόλμησε. Ζ. καὶ μὴν διὰ τοῦτο καὶ μᾶλλον εἴποις ἄν, ὅσον καὶ αἰσχροῖς ἐπεχείρησε. μῶν οὖν ἐπείρα τινά; συνίημι γὰρ ὁποῖόν τι τὸ αἰσχρόν, ὅπερ ἂν ὀκνήσειας εἰπεῖν. Ἥρα. αὐτὴν ἐμέ, οὐκ ἄλλην τινὰ ὦ Ζεῦ, πολὺν ἤδη χρόνον. καὶ τὸ μὲν πρῶτον, ἠγνόουν τὸ πρᾶγμα, διότι ἀτενὲς ἀφεώρα εἰς ἐμέ. ὁ δέ, καὶ ἔστενε, καὶ ὑπεδάκρυε. καὶ εἴποτε πιοῦσα παραδοίην τῷ Γανυμήδει τὸ ἔκπωμα, ὁ δὲ ᾔτει ἐν αὐτῷ ἐκείνῳ πιεῖν. καὶ λαβών, ἐφίλει μεταξύ. καὶ πρὸς τοὺς ὀφθαλμοὺς προσῆγε. καὶ αὖθις ἀφεώρα εἰς ἐμέ, ταῦτα ἤδη συνίην, ἐρωτικὰ ὄντα.

τα. καὶ ἐπὶ πολὺ μὲν ᾐδούμην λέγειν πρὸς σέ,
καὶ ᾤμην παύσεσθαι τῆς μανίας τὸν ἄνθρωπον·
ἐπεὶ δὲ καὶ λόγους ἐτόλμησέ μοι προσενεγκεῖν,
ἐγὼ μὲν ἀφεῖσα αὐτὸν ἔτι δακρύοντα, προκυ-
λινδούμενον, ἐπιφραξαμένη τὰ ὦτα ὡς μηδὲ
ἀκούσαιμι αὐτοῦ ὑβριστικὰ ἱκετεύοντος, ἀπῆλ-
θον σοὶ φράσουσα. σὺ δὲ αὐτὸς ὅρα ὅπως μέτει
τὸν ἄνδρα. Ζ. εὖγε ὁ κατάρατος ἐπ' ἐμὲ αὐ-
τόν, καὶ μέχρι τῶν Ἥρας γάμων; τοσοῦτον ἐμεθύ-
σθη τοῦ νέκταρος. ἀλλ' ἡμεῖς τούτων αἴτιοι, καὶ
πέρα τοῦ μετρίου φιλάνθρωποι, οἵ γε καὶ συμ-
πότας αὐτοὺς ἐποιησάμεθα. συγγνωστοὶ οὖν, εἰ
πιόντες ὅμοια ἡμῖν, καὶ ἰδόντες οὐράνια κάλ-
λη, καὶ οἷα οὔποτε εἶδον ἐπὶ γῆς, ἐπεθύμησαν
ἀπολαῦσαι αὐτῶν ἔρωτι ἁλόντες. ὁ δὲ ἔρως,
βίαιόν τί ἐστι, καὶ οὐκ ἀνθρώπων μόνον ἄρχει,
ἀλλὰ καὶ ἡμῶν αὐτῶν ἐνίοτε. Ηρα. σοῦ μὲν
καὶ πάνυ οὗτός γε δεσπότης ἐστί. καὶ ἄγει σε,
καὶ φέρει τῆς ῥινός φασιν ἕλκων, καὶ ἕπῃ αὐτῷ
ἔνθα ἂν ἡγῆταί σοι. καὶ ἀλλάττῃ ῥᾳδίως, ἐς ὅ-
τι ἂν κελεύσῃ. καὶ ὅλως κτῆμα καὶ παιδιὰ
τοῦ ἔρωτος σύ γε, καὶ νῦν τῷ ἰξίονι οἶδα κα-
θότι συγγνώμην ἀπονέμεις, ἅτε καὶ αὐτὸς μοι-
χεύσας ποτὲ αὐτοῦ τὴν γυναῖκα, ἥ σοι τὸν Πει-
ρίθουν ἔτεκεν. Ζεύς. ἔτι γὰρ σὺ μέμνησαι ἐκείνων,
εἴ τι ἐγὼ ἔπαιξα ἐς γῆν κατελθών; ἀτὰρ οἶσθα

ὅ μοι

ὅ μοι δοκεῖ περὶ τοῦ Ἰξίονος; κολάζειν μὲν μηδαμῶς αὐτὸν, μηδ' ἀπωθεῖν τοῦ συμποσίου. σκαιὸν γάρ. ἐπεὶ δ' ἐρᾷ, καὶ ὡς φὴς δακρύει, καὶ ἀφόρητα πάσχει. Ἡρα. τί ὦ Ζεῦ; δέδεια γὰρ μή τι ὑβριστικὸν καὶ σὺ εἴπῃς. Ζεύς. οὐδαμῶς. ἀλλ' εἴδωλον ἐκ νεφέλης πλασάμενοι αὐτῇ σοι ὅμοιον, ἐπειδὰν λυθῇ τὸ συμπόσιον, κἀκεῖνος ἀγρυπνεῖ ὡς τὸ εἰκὸς ὑπὸ τοῦ ἔρωτος, παρακατακλίνωμεν αὐτῷ φέροντες. οὕτω γὰρ παύσαιτο ἀνιώμενος, οἰηθεὶς τετυχηκέναι τῆς ἐπιθυμίας. Ἡρα. ἄπαγε μὴ ὥρασιν ἵκοιτο τῶν ὑπὲρ αὐτὸν ἐπιθυμῶν. Ζ. ὅμως ὑπόμεινον ὦ Ἡρα. τί γὰρ ἂν καὶ πάθοις δεινὸν ἀπὸ τοῦ πλάσματος, εἰ νεφέλῃ ὁ Ἰξίων συνέσται; Ἡρα. ἀλλὰ ἡ νεφέλη ἐγὼ εἶναι δόξω, καὶ τὸ αἰσχρὸν ἐπ' ἐμὲ ποιήσει διὰ τὴν ὁμοιότητα. Ζεύς. οὐδὲν τοῦτο φής. οὔτε γὰρ ἡ νεφέλη ποτὲ Ἡρα γένοιτ' ἂν, οὔτε σὺ νεφέλη. ὁ δ' Ἰξίων μόνον ἐξαπατηθήσεται. Ἡρα. ἀλλὰ οἷοι πάντες ἄνθρωποι ἀπειρόκαλοί εἰσιν, αὐχήσει κατελθὼν ἴσως, καὶ διηγήσεται ἅπασι, λέγων συγγεγενῆσθαι τῇ Ἡρᾳ, καὶ σύλλεκτρος εἶναι τῷ Διΐ. καί που τάχα ἐρᾶν με φήσειεν αὐτοῦ. οἱ δὲ πιστεύσουσιν, οὐκ εἰδότες ὡς νεφέλῃ συνῆν. Ζεύς. οὐκοῦν ἤν τι τοιοῦτον εἴπῃ, ἐς τὸν ᾅδην ἐμπεσὼν, τροχῷ ἄθλιος προσδεθεὶς, συμπεριενεχθήσεται μετ' αὐτοῦ ἀεὶ, καὶ πόνον ἄπαυστον ἕξει, δίκην διδοὺς

τοῦ

τοῦ ἔρωτος. Ηρα. οὐ γὰρ δεινὸν τοῦτό γε ἀπὸ τῆς μεγαλαυχίας.

ΑΠΟΛΛΟΝΟΣ, ΚΑΙ ΗΦΑΙΣΤΟΥ.

Εώρακας ὦ Απολλον τὸ τῆς Μαίας βρέφος τὸ ἄρτι τεχθὲν, ὡς καλόν τέ ἐστι, καὶ προσγελᾷ πᾶσι, καὶ δηλοῖ τι ἤδη ὡς μέγα ἀγαθὸν ἀποβησόμενον; Απο. ἐκεῖνό γε φῶ βρέφος ὦ Ηφαιστε, ἢ μέγα ἀγαθὸν, ὃ τοῦ Ιαπετοῦ πρεσβύτερόν ἐστιν, ὅσον ἐν τῇ πανουργίᾳ; Ηφαι. καὶ τίνα ἂν ἀδικῆσαι δύναιτο ἀρτίτοκον ὄν; Απο. ἐρώτα τὸν Ποσειδῶνα, οὗ τὴν τρίαιναν ἔκλεψεν. ἢ τὸν Αρη, καὶ τούτου γὰρ ἐξείλκυσε λαθὼν τοῦ κολεοῦ τὸ ξίφος. ἵνα μὴ ἐμαυτὸν λέγω, ὃν ἀφώπλισε τοῦ τόξου, καὶ τῶν βελῶν. Ηφαι. τὸ νεογνὸν ταῦτα, ὃ μόγις ἐκινεῖτο ἐν τοῖς σπαργάνοις; Απο. εἴσῃ ὦ Ηφαιστε, εἴ σοι προσέλθῃ μόνον. Ηφαι. καὶ μὴν προσῆλθεν ἤδη. Απο. τί οὖν, πάντα ἔχεις τὰ ἐργαλεῖα, καὶ οὐδὲν ἀπόλωλεν αὐτῶν; Ηφαι. πάντα ὦ Απολλον. Απο. ὅμως ἐπίσκεψαι ἀκριβῶς. Η. νὴ Δία τὴν πυράγραν οὐχ ὁρῶ. Απο. ἀλλ᾽ ὄψει αὐτήν που ἐν σπαργάνοις τοῦ βρέφους. Ηφαι. οὕτως ὀξύχειρ ἐστὶ, καθάπερ ἐν τῇ γαστρὶ ἐκμελετήσας τὴν κλεπτικήν; Απο. οὐ γὰρ ἤκουσας αὐτοῦ καὶ λαλοῦντος ἤδη στωμύλα, καὶ ἐπίτροχα. ὁ δὲ καὶ διακονεῖσθαι ἡμῖν ἐθέλει. χθὲς δὲ προσκαλεσάμενος τὸν ἔρωτα, κατεπάλαισεν εὐθὺς, οὐκ οἶδ᾽ ὅπως

ὑφελκύσων τὸ ξίφος. εἶτα μεταξὺ ἐπαινούμενος, τῆς Ἀφροδίτης μὲν τὸν κεστὸν ἔκλεψε, προσπτυξαμένης αὐτὸν ἐπὶ τῇ νίκῃ. τοῦ Διὸς δὲ γελῶντος, τὸ σκῆπτρον. εἰ δὲ μὴ βαρύτερος ὁ κεραυνὸς ἦν, καὶ πολὺ τὸ πῦρ εἶχε, κἀκεῖνον ἂν ὑφείλετο. Ηφαι. γοργόν τινα τὸν παῖδα φῄς. Απο. οὐ μόνον, ἀλλ᾽ ἤδη καὶ μουσικόν. Ηφαι. τῷ δὲ τοῦτο τεκμαίρεσθαι ἔχεις; Απο. χελώνην που νεκρὰν εὑρὼν, ὄργανον ἀπ᾽ αὐτῆς συνεπήξατο. πήχεις γὰρ ἐναρμόσας, καὶ ζυγώσας, ἔπειτα καλάμους ἐμπήξας, καὶ μαγάδιον ὑποθεὶς, καὶ ἐντεινάμενος ἑπτὰ χορδὰς, μελῳδεῖ πάνυ γλαφυρὸν ὦ Ἥφαιστε, καὶ ἐναρμόνιον, ὡς κἀμὲ αὐτῷ φθονεῖν τὸν πάλαι κιθαρίζειν ἀσκοῦντα. ἔλεγε δὲ ἡ Μαῖα, ὡς οὐδὲ μένοι τὰς νύκτας ἐν τῷ οὐρανῷ, ἀλλ᾽ ὑπὸ περιεργίας ἄχρι τοῦ ἄδου κατίοι, κλέψων τι κἀκεῖθεν δηλαδή. ὑπόπτερος δ᾽ ἐστί. καὶ ῥάβδον τινὰ πεποίηται θαυμασίαν τὴν δύναμιν, ᾗ ψυχαγωγεῖ, καὶ κατάγει τοὺς νεκρούς. Ηφαι. ἐγὼ ἐκείνην ἔδωκα αὐτῷ παίγνιον εἶναι. Απο. τοιγαροῦν ἀπέδωκέ σοι τὸν μισθὸν τὴν πυράγραν. Ηφαι. εὖ γε ὑπέμνησας. ὥστε βαδιοῦμαι ἀποληψόμενος αὐτὴν, εἴ που ὡς φῄς εὑρεθείη ἐν τοῖς σπαργάνοις.

# ΗΦΑΙΣΤΟΥ ΚΑΙ ΔΙΟΣ.

## ΗΦΑΙΣΤΟΣ.

Τί με ὦ Ζεῦ δεῖ ποιεῖν; ἥκω γὰρ ὡς ἐκέλευσας, ἔχων τὸν πέλεκυν ὀξύτατον, εἰ καὶ λίθους δέοι μιᾷ πληγῇ διατεμεῖν. Ζ. εὖγε ὦ Ἥφαιστε. ἀλλὰ δίελέ μου τὴν κεφαλὴν εἰς δύο, κατενεγκών. Ηφαι. πειρᾷ μου εἰ μέμηνα; πρόσταττε δ᾽ οὖν τἀληθὲς, ὅπερ θέλεις σοι γενέσθαι. Ζ. διαιρεθῆναί μοι τὸ κρανίον. εἰ δὲ ἀπειθήσεις, οὐ νῦν πρῶτον ὀργιζομένου πειράσῃ μου, ἀλλὰ χρὴ καθικνεῖσθαι παντὶ τῷ θυμῷ, μὴ δὲ μέλλειν. ἀπόλλυμαι γὰρ ὑπὸ τῶν ὠδίνων, αἵ μου τὸν ἐγκέφαλον ἀναστρέφουσιν. Ηφαι. ὅρα ὦ Ζεῦ μὴ κακόν τι ποιήσωμεν. ὀξὺς γὰρ ὁ πέλεκύς ἐστι, καὶ οὐκ ἀναιμωτὶ, οὐδὲ κατὰ τὴν Εἰλείθυιαν μαιώσεταί σε. Ζ. κατένεγκε μόνον ὦ Ἥφαιστε θαῤῥῶν. οἶδα γὰρ ἐγὼ τὸ συμφέρον. Ηφαι. ἄκων μὲν, κατοίσω δέ. τί γὰρ χρὴ ποιεῖν, σοῦ κελεύοντος; τί τοῦτο; κόρη ἔνοπλος; μέγα ὦ Ζεῦ κακὸν εἶχες ἐν τῇ κεφαλῇ. εἰκότως γοῦν ὀξύθυμος ἦσθα, τηλικαύτην ὑπὸ τὴν μήνιγγα παρθένον ζωογονῶν. καὶ ταῦτα ἔνοπλον. ἦ που στρατόπεδον, οὐ κεφαλὴν ἐλελήθεις ἔχων. ἡ δὲ πηδᾷ, καὶ πυῤῥιχίζει, καὶ τὴν ἀσπίδα τινάσσει, καὶ τὸ δόρυ πάλλει, καὶ ἐνθουσιᾷ. καὶ τὸ μέγιστον, καλὴ πάνυ καὶ ἀκμαία γεγένηται ἤδη ἐν βραχεῖ. γλαυκῶπις

μ, ἀλλὰ κοσμεῖ καὶ τοῦτο ἡ κόρυς. ὥστε ὦ Ζεῦ μαίωτρά μοι ἀπόδος, ἐγγυήσας μοι αὐτήν. Ζ. ἀδύνατα αἰτεῖς ὦ Ἥφαιστε. παρθένος γὰρ ἀεὶ θέλει μένειν. ἐγὼ γοῦν τό γε ἐπ' ἐμοί, οὐδὲν ἀντιλέγω. Ηφαι. τοῦτ' ἐβουλόμην. ἐμοὶ μελήσει τὰ λοιπά. καὶ ἤδη συναρπάσω αὐτήν. Ζ. εἴ σοι ῥᾴδιον οὕτω, ποίει. πλὴν οἶδα ὅτι ἀδυνάτων ἐρᾷς.

## ΠΟΣΕΙΔΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ.

Ἔστιν ὦ Ἑρμῆ νῦν ἐντυχεῖν τῷ Διί; Ερ. οὐδαμῶς ὦ Πόσειδον. Πο. ὅμως προσάγγειλον αὐτῷ. Ερ. μὴ ἐνόχλει φημί. ἄκαιρον γάρ. ὥστε οὐκ ἂν ἴδοις αὐτὸν ἐν τῷ παρόντι. Πο. μῶν τῇ Ἥρῃ σύνεστιν; Ερ. οὐκ. ἀλλ' ἑτεροῖόν τί ἐστι. Πο. συνίημι. ὁ Γανυμήδης ἔνδον. Ερ. οὐδὲ τοῦτο. ἀλλὰ μαλακῶς ἔχει αὐτός. Πο. πόθεν ὦ Ἑρμῆ; δεινὸν γὰρ τοῦτο φῄς. Ερ. αἰσχύνομαι εἰπεῖν, τοιοῦτόν ἐστι. Πο. ἀλλ' οὐ χρὴ πρὸς ἐμὲ θεῖόν γε ὄντα. Ερ. τέτοκεν ἀρτίως, ὦ Πόσειδον. Πο. ἄπαγε. τέτοκεν ἐκεῖνος; ἐκ τίνος; οὐκοῦν ἐλελήθει ἡμᾶς ἀνδρόγυνος ὤν; ἀλλ' οὐδὲ ἐπεσήμαινεν αὐτῷ ἡ γαστὴρ ὄγκον τινά. Ερ. εὖ λέγεις. οὐ γὰρ ἐκείνη εἶχε τὸ ἔμβρυον. Πο. οἶδα. ἐκ τῆς κεφαλῆς ἔτεκεν αὖθις, ὥσπερ τὴν Ἀθηνᾶν. τοκάδα γὰρ τὴν κεφαλὴν ἔχει. Ερ. οὐκ. ἀλλ' ἐν τῷ μηρῷ ἐκύει τὸ ἐκ τῆς Σεμέλης βρέφος. Πο. εὖγε ὁ γενναῖος, ὡς ὅλος ἡμῖν κυοφορεῖ, καὶ πανταχόθι τοῦ σώματος. ἀλλὰ τίς

ἡ Σεμέλη δὲ τίς; Ερ. Θηβαία, τῶν Κάδμου θυγατέρων μία. ταύτῃ συνελθὼν, ἐγκύμονα ἐποίησεν. Πο. εἶτα ἔτεκεν ὦ Ἑρμῆ ἀντ' ἐκείνης; Ερ. καὶ μάλα, εἰ καὶ παράδοξον εἶναί σοι δοκεῖ. τὴν μὲν γὰρ Σεμέλην ὑπελθοῦσα ἡ Ἥρα, οἶσθα δὲ ὡς ζηλότυπός ἐστι, πείθει αἰτῆσαι παρὰ τοῦ Διός, μετὰ βροντῶν καὶ ἀστραπῶν ἥκειν παρ' αὐτήν. ὡς δ' ἐπείσθη, καὶ ἧκεν ἔχων καὶ τὸν κεραυνόν, ἀνεφλέγη ὁ ὄροφος, καὶ ἡ Σεμέλη μὲν διαφθείρεται ὑπὸ τοῦ πυρός. ἐμὲ δὲ κελεύει ἀνατεμόντα τὴν γαστέρα τῆς γυναικός, ἀνακομίσαι ἀτελὲς ἔτι αὐτῷ τὸ ἔμβρυον ἑπταμηνιαῖον. καὶ ἐπειδὴ ἐποίησα, διελὼν τὸν ἑαυτοῦ μηρόν, ἐντίθησιν, ὡς ἀποτελεσθείη ἐνταῦθα, καὶ νῦν τρίτῳ ἤδη μηνὶ ἐξέτεκεν αὐτό, καὶ μαλακῶς ἀπὸ τῶν ὠδίνων ἔχει. Πο. νῦν οὖν ποῦ τὸ βρέφος ἐστίν; Ερ. ἐς τὴν Νύσαν ἀποκομίσας, παρέδωκα ταῖς νύμφαις ἀνατρέφειν, Διόνυσον ἐπονομασθέντα. Πο. οὐκοῦν ἀμφότερα τοῦ Διονύσου τούτου καὶ μήτηρ καὶ πατὴρ ὅδε ἐστιν; Ερ. ἔοικεν. ἄπειμι δ' οὖν ὕδωρ αὐτῷ πρὸς τὸ τραῦμα οἴσων, καὶ τἄλλα ποιήσων, ὅσ' ἂν νομίζηται ὥσπερ λεχοῖ.

## ΕΡΜΟΥ ΚΑΙ ΗΛΙΟΥ.

Ὦ Ἥλιε, μὴ ἐλάσῃς τήμερον ὁ Ζεύς φησι, μὴ δὲ αὔριον, μήδ' ἐς τρίτην ἡμέραν, ἀλλ' ἔνδον μένε. καὶ τὸ μεταξὺ μία τις ἔστω νὺξ

μακρὰν. ὥστε λυέτωσαν μὲν αἱ ὧραι αὖθις τοὺς ἵππους. σὺ δὲ σβέσον τὸ πῦρ, καὶ ἀνάπαυε διὰ μακροῦ σεαυτόν. Η. καινὰ ταῦτα ὦ Ἑρμῆ καὶ ἀλλόκοτα ἥκεις παραγγέλλων. ἀλλὰ μὴ παραβαίνειν τι ἔδοξα ἐν τῷ δρόμῳ, καὶ ἔξω ἐλάσαι τῶν ὅρων, κᾆτά μοι ἄχθεται, καὶ τὴν νύκτα τριπλασίαν τῆς ἡμέρας ποιῆσαι διέγνωκεν; Ερ. οὐδὲν τοιοῦτον, οὐδ' ἐς ἀεὶ τοῦτ' ἔσται. δεῖται δέ τι νῦν αὐτὸς ἐπιμηκεστέραν γενέσθαι οἱ τὴν νύκτα. Η. ποῦ δὲ καὶ ἔστιν, ἢ πόθεν ἐξεπέμφθης ἀγγελῶν ταῦτά μοι; Ερ. ἐκ Βοιωτίας ὦ Ἥλιε, παρὰ τῆς Ἀμφιτρύονος γυναικὸς, ᾗ σύνεστιν. Η. ἐρῶν αὐτῆς; εἶτα οὐχ ἱκανὴ νὺξ μία; Ερ. οὐδαμῶς. τεχθῆναι γάρ τινα δεῖ ἐκ τῆς ὁμιλίας ταύτης μέγαν, καὶ πολύαθλον θεόν. τοῦτον οὖν ἐν μιᾷ νυκτὶ ἀποτελεσθῆναι ἀδύνατον. Η. ἀλλὰ τελεσιουργείτω μὲν ἀγαθῇ τύχῃ. ταῦτα δ' οὖν ὦ Ἑρμῆ οὐκ ἐγίνετο ἐπὶ τοῦ Κρόνου. αὐτοὶ γὰρ ἡμεῖς ἐσμεν. οὐδ' ἀπόκοιτος ἐκεῖνος παρὰ τῆς Ῥέας ἦν, οὐδ' ἀπολιπὼν ἂν τὸν οὐρανὸν ἐν Θήβαις ἐκοιμᾶτο, ἀλλὰ ἡμέρα μὲν ἦν ἡ ἡμέρα, νὺξ δὲ κατὰ μέτρον τὸ αὐτῆς, ἀνάλογον ταῖς ὥραις. ξένον δὲ, ἢ παρηλλαγμένον, οὐδέν. οὐδ' ἂν ἐκοινώνησέ ποτε ἐκεῖνος θνητῇ γυναικί. νῦν δὲ δυστήνου γυναίου ἕνεκα, χρὴ ἀνεστράφθαι τὰ πάντα, καὶ ἀκαμπεστέρους μὲν γενέσθαι

νέσθαι τοὺς ἵππους ὑπὸ τῆς ἀργίας, δύσπορον δὲ τὴν ὁδὸν, ἀτριβῆ μείνασαν ἑξῆς τριῶν ἡμερῶν, τοὺς δ' ἀνθρώπους ἀθλίως ἐν σκοτεινῷ διαβιοῦν; τοιαῦτα ἀπολαύοντι τῶν Διὸς ἐρώτων, καὶ καθεδοῦνται περιμένοντες, ἔστ' ἂν ἐκεῖνος ἀποτελέσῃ τὸν ἀθλητὴν, ὃν λέγεις, ὑπὸ μακρῷ τῷ ζόφῳ. Ερ. σιώπα ὦ Ἥλιε, μή τι κακὸν ἀπολαύσῃς τῶν λόγων. ἐγὼ δὲ παρὰ τὴν Σελήνην ἀπελθὼν, καὶ τὸν ὕπνον, ἀπαγγελῶ κἀκείνοις ἅπερ ὁ Ζεὺς ἀπέστειλε. τὴν μὲν, σχολῇ προβαίνειν. τὸν δὲ ὕπνον, μὴ ἀνεῖναι τοὺς ἀνθρώπους, ὡς ἀγνοήσωσι μακρὰν οὕτω τὴν νύκτα γεγενημένην.

## ΑΦΡΟΔΙΤΗΣ ΚΑΙ ΣΕΛΗΝΗΣ.

Τι ταῦτα ὦ Σελήνη φασὶ ποιεῖν σε ὁπόταν κατὰ τὴν Καρίαν γένῃ, ἱστάναι μέν σε τὸ ζεῦγος, ἀφορῶσαν ἐς τὸν Ενδυμίωνα καθεύδοντα, ὑπαίθριον ἅτε κυνηγέτην ὄντα, ἐνίοτε δὲ καὶ καταβαίνειν ἐπ' αὐτὸν ἐκ μέσης τῆς ὁδοῦ; Σε. ἐρώτα ὦ Ἀφροδίτη τὸν σὸν υἱὸν, ὅς μοι τούτων αἴτιος. Αφρο. ἔα, ἐκεῖνος ὑβριστής ἐστιν. ἐμὲ γοῦν αὐτοῦ τὴν μητέρα οἷα δέδρακεν, ἄρτι μὲν ἐς τὴν Ἴδην κατάγων, Ἀγχίσου ἕνεκα τοῦ Ἰλιέως, ἄρτι δ' ἐς τὸν Λίβανον ἐπὶ τὸ ἀσσύριον ἐκεῖνο μειράκιον, ὃ καὶ τῇ Περσεφάττῃ ἐπέραστον ποιήσας, ἐξ ἡμισείας ἀφείλετό με

τὸν ἐρώμενον. ὥστε πολλάκις ἠπείλησα, εἰ μὴ παύσεται τοιαῦτα ποιῶν, κλάσειν μὲν αὐτοῦ τὰ τόξα, καὶ τὴν φαρέτραν, περιαιρήσειν δὲ καὶ τὰ πτερά. ἤδη δὲ καὶ πληγὰς αὐτῷ ἐνέτεινα εἰς τὰς πυγὰς τῷ σανδάλῳ. ὁ δέ, οὐκ οἶδ' ὅπως τὸ παραυτίκα δεδιώς, καὶ ἱκετεύων, μετ' ὀλίγον ἐπιλέλησται ἁπάντων. ἀτὰρ εἰπέ μοι, καλὸς ὁ Ἐνδυμίων ἐστίν; ἀπαραμύθητον γὰρ οὕτω τὸ δεινόν. Ζ. ἐμοὶ μὲν καὶ πάνυ καλὸς ὦ Ἀφροδίτη δοκεῖ, καὶ μάλιστα ὅταν ὑποβαλλόμενος ἐπὶ τῆς πέτρας τὴν χλαμύδα καθεύδῃ τῇ λαιᾷ μὲν ἔχων τὰ ἀκόντια, ἤδη ἐκ τῆς χειρὸς ὑπορρέοντα. ἡ δεξιὰ δὲ περὶ τὴν κεφαλὴν ἐς τὸ ἄνω ἐπικεκλασμένη ἐπιπρέπει, τῷ προσώπῳ περικειμένη. ὁ δέ, ὑπὸ τοῦ ὕπνου λελυμένος, ἀναπνέει τὸ ἀμβρόσιον ἐκεῖνο ἆσθμα. τότε τοίνυν ἐγὼ ἀψοφητὶ κατιοῦσα, ἐπ' ἄκρων τῶν δακτύλων βεβηκυῖα, ὡς ἂν μὴ ἀνεγρόμενος ἐκταραχθείη. οἶσθα τί ἂν οὖν σοι λέγοιμι τὰ μετὰ ταῦτα. πλὴν ἀπόλλυμαί γε ὑπὸ τοῦ ἔρωτος.

## ΑΦΡΟΔΙΤΗΣ ΚΑΙ ΕΡΩΤΟΣ.

Ὦ τέκνον ἔρως, ὅρα οἷα ποιεῖς. οὐ τὰ ἐν τῇ γῇ λέγω ὁπόσα τοὺς ἀνθρώπους ἀναπείθεις καθ' αὑτῶν ἢ κατ' ἀλλήλων ἐργάζεσθαι, ἀλλὰ καὶ τὰ ἐν τῷ οὐρανῷ. ὃς τὸν μὲν Δία πολύμορφον ἐπιδεικνύεις, ἀλλάττων ἐς ὅ,τι ἂν σοι ἐπὶ τοῦ

καιροῦ δοκεῖ. τὴν σελήνην δὲ καθαιρεῖς ἐκ τοῦ οὐρανοῦ. τὸν ἥλιον δὲ παρὰ τῇ Κλυμένῃ βραδύνειν ἐνίοτε ἀναγκάζεις, ἐπιλελησμένον τῆς ἱππασίας. ἃ μὲν γὰρ εἰς ἐμὲ τὴν μητέρα ὑβρίζεις, θαῤῥῶν ποιεῖς. ἀλλὰ σὺ ὦ τολμηρότατε, καὶ τὴν ῥέαν αὐτὴν γραῦν ἤδη, καὶ μητέρα τοσούτων θεῶν, ἀνέπεισας παιδεραστεῖν, καὶ τὸ φρύγιον μειράκιον ἐκεῖνο ποθεῖν. καὶ νῦν ἐκείνη μέμηνεν ὑπὸ σοῦ. καὶ ζευξαμένη τοὺς λέοντας, παραλαβοῦσα καὶ τοὺς Κορύβαντας ἅτε μανικοὺς καὶ αὐτοὺς ὄντας, ἄνω καὶ κάτω τὴν Ἴδην περιπολοῦσιν. ἡ μὲν, ὀλολύζουσα ἐπὶ τῷ Ἄττῃ. οἱ Κορύβαντες δὲ, ὁ μὲν αὐτῶν, τέμνεται ξίφει τὸν πῆχυν. ὁ δὲ, ἀνεὶς τὴν κόμην, ἵεται μεμηνὼς διὰ τῶν ὀρῶν. ὁ δὲ, αὐλεῖ τῷ κέρατι. ὁ δὲ, ἐπιβομβεῖ τῷ τυμπάνῳ, ἢ ἐπικτυπεῖ τῷ κυμβάλῳ. καὶ ὅλως θόρυβος καὶ μανία τὰ ἐν τῇ Ἴδῃ ἅπαντά ἐστι. δέδια τοίνυν ἅπαντα. δέδια τὸ τοιοῦτο, ἡ τὸ μέγα σε κακὸν τεκοῦσα, μὴ ἀπομανεῖσά ποτε ἡ Ῥέα, ἢ καὶ μᾶλλον ἔτι ἐν αὐτῇ οὖσα, κελεύσῃ τοὺς Κορύβαντας συλλαβόντας σε, διασπάσασθαι, ἢ τοῖς λέουσι παραβαλεῖν. ταῦτα δέδια, κινδυνεύοντά σε ὁρῶσα. Ε. Θάῤῥει μῆτερ, ἐπεὶ καὶ τοῖς λέουσιν αὐτοῖς ἤδη ξυνήθης εἰμί. καὶ πολλάκις ἐπαναβὰς ἐπὶ τὰ νῶτα, καὶ τῆς κόμης λαβόμενος, ἡνιοχῶ αὐτούς. οἱ δὲ, σαίνουσί με. καὶ τὴν χεῖρα δεχόμενοι εἰς τὸ στόμα, περι-

ἐλιχμησάμενοι ἀποδιδόασί μοι. αὕτη μὲν γὰρ ἡ Ῥέα, πότε ἂν ἐκείνη χολὴν ἀγάγοι ἐπ' ἐμέ, ὅλη οὖσα ἐν τῷ Ἄττῃ; καίτοι τί ἐγὼ ἀδικῶ, δεικνὺς τὰ καλὰ οἷά ἐστιν; ὑμεῖς δὲ μὴ ἐφίεσθε τῶν καλῶν. μὴ τοίνυν ἐμὲ αἰτιᾶσθε τούτων. ἢ θέλεις σὺ ὦ μῆτερ αὐτὴ μηκέτι ἐρᾶν, μήτε σὲ τοῦ Ἄρεως, μήτ' ἐκεῖνον σοῦ; Ἀφρο. ὡς δεινὸς εἶ, καὶ κρατεῖς ἁπάντων, ἀλλὰ μεμνήσῃ μου ποτὲ τῶν λόγων.

## ΔΙΟΣ, ΑΣΚΛΗΠΙΟΥ, ΚΑΙ ΗΡΑΚΛΕΟΥΣ. ΖΕΥΣ.

Παύσασθε ὦ Ἀσκληπιὲ καὶ Ἡράκλεις, ἐρίζοντες πρὸς ἀλλήλους ὥσπερ ἄνθρωποι. ἀπρεπῆ γὰρ ταῦτα, καὶ ἀλλότρια τοῦ συμποσίου τῶν θεῶν. Ἡρα. ἀλλὰ ἐθέλεις ὦ Ζεῦ τουτονὶ τὸν φαρμακέα προκατακλίνεσθαί μου. Ἀσκλη. νὴ Δία. καὶ ἀμείνων γάρ εἰμι. Ἡρα. κατὰ τί ὦ ἐμβρόντητε; ἢ διότι σε ὁ Ζεὺς ἐκεραύνωσεν, ἃ μὴ θέμις ποιοῦντα, νῦν δὲ κατ' ἔλεον αὖθις ἀθανασίας μετείληφας; Ἀσκλη. ἐπιλέλησαι γὰρ καὶ σὺ ὦ Ἡράκλεις ἐν τῇ Οἴτῃ καταφλεγείς, ὅτι μοι ὀνειδίζεις τὸ πῦρ; Ἡρα. οὔκουν ἴσα καὶ ὅμοια βεβίωται ἡμῖν· ὃς Διὸς μὲν υἱός εἰμι, τοσαῦτα δὲ πεπόνηκα ἐκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος, καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος, σὺ δὲ ῥιζοτόμος εἶ,

καὶ

καὶ ἀγύρτης. νοσοῦσι μὲν ἴσως ἀνθρώποις χρήσιμος ἐπιθήσειν τῶν φαρμάκων, ἀνδρῶδες δὲ οὐδὲν ἐπιδεδειγμένος. Ασκλη. εὖ λέγεις. ὅτι σου τὰ ἐγκαύματα ἰασάμην, ὅτε πρώην ἀνῆλθες ἡμίφλεκτος ὑπ' ἀμφοῖν διεφθαρμένος τῷ σώματι, τοῦ χιτῶνος, καὶ μετὰ τοῦτο τοῦ πυρός. ἐγὼ δὲ εἰ καὶ μηδὲν ἄλλο, οὔτε ἐδούλευσα ὥσπερ σύ, οὔτε ἔξαινον ἔρια ἐν Λυδίᾳ, πορφυρίδα ἐνδεδυκώς, καὶ παιόμενος ὑπὸ τῆς Ομφάλης χρυσῷ σανδάλῳ. ἀλλ' οὐδὲ μελαγχολήσας ἀπέκτεινα τὰ τέκνα, καὶ τὴν γυναῖκα. Ηρα. εἰ μὴ παύσῃ λοιδορούμενός μοι, αὐτίκα μάλα εἴσῃ, ὡς οὐ πολύ σε ὀνήσει ἡ ἀθανασία, ἐπεὶ ἀράμενός σε, ῥίψω ἐπὶ κεφαλὴν ἐκ τοῦ οὐρανοῦ, ὥστε μηδὲ τὸν παιῶνα ἰάσασθαί σε, τὸ κρανίον συντριβέντα. Ζεύς. παύσασθέ φημι, καὶ μὴ ἐπιταράττετε ἡμῖν τὴν ξυνουσίαν, ἢ ἀμφοτέρους ἀποπέμψομαι ὑμᾶς τοῦ συμποσίου. καί τοι εὔγνωμον ὦ Ηρακλεῖς προκατακλίνεσθαί σου τὸν Ασκληπιόν, ἅτε καὶ πρότερον ἀποθανόντα.

## ΕΡΜΟΥ, ΚΑΙ ΑΠΟΛΛΩΝΟΣ.

Τί σκυθρωπὸς εἶ ὦ Απολλον; Απο. ὅτι ὦ Ερμῆ δυστυχῶ ἐν τοῖς ἐρωτικοῖς. Ερ. ἄξιον μὲν λύπης τὸ τοιοῦτον. σὺ δὲ τί δυστυχεῖς; ἢ τὸ κατὰ τὴν δάφνην σε λυπεῖ ἔτι; Απο. οὐδαμῶς.

ἀλλ' ὀδυρόμενον πενθῶ τὸν Λάκωνα τὸν Οἰβάλου. Ερ. τέθνηκε γὰρ εἰπέ μοι ὁ Υάκινθος; Απο. καὶ μάλα. Ερ. πρὸς τίνος ὦ Απολλον; ἢ τίς οὕτως ἀνέραστος ἦν, ὡς ἀποκτεῖναι τὸ καλὸν ἐκεῖνο μειράκιον; Απο. αὐτοῦ ἐμοῦ τὸ ἔργον. Ερ. οὐκοῦν ἐμάνης ὦ Απολλον; Απο. οὐκ. ἀλλὰ δυστύχημά τι ἀκούσιον ἐγένετο. Ερ. πῶς; ἐθέλω γὰρ ἀκοῦσαι τὸν λόγον. Απο. δισκεύειν ἐμάνθανε. κἀγὼ συνεδίσκευον αὐτῷ. ὁ δὲ κάκιστα ἀνέμων ἀπολούμενος ζέφυρος, ἤρα μὲν ἐκ πολλοῦ καὶ αὐτός. ἀμελούμενος δὲ, καὶ μὴ φέρων τὴν ὑπεροψίαν, ἐγὼ μὲν ἀνέρριψα ὥσπερ εἰώθαμεν τὸν δίσκον εἰς τὸ ἄνω. ὁ δὲ, ἀπὸ τοῦ Ταϋγέτου καταπνεύσας, ἐπὶ κεφαλὴν τῷ παιδὶ ἐνέσεισε φέρων αὐτὸν, ὥστε ἀπὸ τῆς πληγῆς αἷμά τε ῥυῆναι πολὺ, καὶ τὸν παῖδα εὐθὺς ἀποθανεῖν. ἀλλ' ἐγὼ τὸν μὲν ζέφυρον, αὐτίκα ἠμυνάμην κατατοξεύσας, φεύγοντι ἐπισπόμενος ἄχρι τοῦ ὄρους. τῷ παιδὶ δὲ, καὶ τάφον ἐχωσάμην ἐν Αμύκλαις, ὅπου ὁ δίσκος αὐτὸν κατέβαλε. καὶ ἀπὸ τοῦ αἵματος ἄνθος ἀναδοῦναι τὴν γῆν ἐποίησα, ἥδιστον ὦ Ερμῆ, καὶ εὐανθέστατον ἀνθέων ἁπάντων. ἔτι καὶ γράμματα ἔχον, ἐπαιάζοντα τῷ νεκρῷ. ἆρά σοι ἀλόγως λελυπῆσθαι δοκῶ; Ερ. ναὶ ὦ Απολλον. ἤδεις γὰρ θνητὸν πεποιημένος τὸν ἐρώμενον, ὥστε μὴ ἄχθου ἀποθανόντος.

## ΕΡΜΟΥ ΚΑΙ ΑΠΟΛΛΩΝΟΣ.

Τὸ δὲ καὶ χωλὸν αὐτὸν ὄντα Ἥφαιστον, καὶ τέχνην ἔχοντα βάναυσον ὦ Ἄπολλον, τὰς καλλίστας γεγαμηκέναι, τήν τε Ἀφροδίτην, καὶ τὴν Χάριν; Απο. εὐποτμία τις ὦ Ἑρμῆ. πλὴν ἐκεῖνό γε ἐγὼ θαυμάζω, τὸ, ἀνέχεσθαι συνούσας αὐτῷ. καὶ μάλιστα ὅταν ὁρῶσιν ἱδρῶτι ῥεόμενον εἰς τὴν κάμινον ἐπικεκυφότα, πολλὴν αἰθάλην ἐπὶ τοῦ προσώπου ἔχοντα. καὶ ὅμως τοιοῦτον ὄντα αὐτὸν, περιβάλλουσί τε, καὶ φιλοῦσι, καὶ συγκαθεύδουσι. Ερ. τοῦτο καὶ αὐτὸς ἀγανακτῶ, καὶ τῷ Ἡφαίστῳ φθονῶ. σὺ δὲ κόμα ὦ Ἄπολλον, καὶ κιθάριζε, καὶ μέγα ἐπὶ τῷ κάλλει φρόνει. κἀγὼ ἐπὶ τῇ εὐεξίᾳ, καὶ τῇ λύρᾳ. εἶτα ἐπειδὰν κοιμᾶσθαι δέοι, μόνοι καθευδήσομεν. Απο. ἐγὼ δὲ καὶ ἄλλως ἀναφρόδιτός εἰμι εἰς τὰ ἐρωτικά. καὶ δύο γοῦν, οὓς μάλιστα ὑπερηγάπησα, τὴν Δάφνην, καὶ τὸν Ὑάκινθον, ἡ μὲν ἀποδιδράσκει με, καὶ μισεῖ, ὥστε εἵλετο ξύλον γενέσθαι μᾶλλον ἢ ἐμοὶ συνεῖναι· ὁ δὲ, ὑπὸ τοῦ δίσκου ἀπώλετο. καὶ νῦν ἀντ' ἐκείνων στεφάνους ἔχω. Ερ. ἐγὼ δὲ ἤδη ποτὲ τὴν Ἀφροδίτην· ἀλλ' οὐ χρὴ αὐχεῖν. Απο. οἶδα. καὶ τὸν Ἑρμαφρόδιτον ἐκ σοῦ λέγεται τετοκέναι. πλὴν ἐκεῖνό μοι εἰπὲ, εἴ τι οἶσθα, πῶς οὐ ζηλοτυπεῖ ἡ Ἀφροδίτη τὴν Χάριν, ἢ ἡ Χάρις ταύτην; Ερ. ὅτι ὦ Ἄπολλον ἐκείνη μὲν αὐτῷ ἐν τῇ Λήμνῳ

συνέστιν. ἡ δ' Ἀφροδίτη, ἐν τῷ οὐρανῷ. ἄλλως τε, περὶ τὸν Ἄρη ἔχει τὰ πολλά, κἀκείνου ἐρᾷ. ὥστε ὀλίγον αὐτῇ τοῦ χαλκέως τούτου μέλει. ΑΠΟ. καὶ ταῦτα οἴει τὸν Ἥφαιστον εἰδέναι; ΕΡ. οἶδεν. ἀλλὰ τί ἂν δρᾶσαι δύναιτο, γενναῖον ὁρῶν νεανίαν, καὶ στρατιώτην αὐτόν; ὥστε τὴν ἡσυχίαν ἄγει. πλὴν ἀπειλεῖ γε δεσμά τινα ἐπιμηχανήσεσθαι αὐτοῖς, καὶ συλλήψεσθαι, σαγηνεύσας ἐπὶ τῆς εὐνῆς. ΑΠΟ. οὐκ οἶδα. εὐξαίμην δ' ἂν αὐτὸς ὁ ξυλληφθησόμενος εἶναι.

## ΗΡΑΣ ΚΑΙ ΛΗΤΟΥΣ.

Καλὰ μὲν γὰρ ὦ Λητοῖ καὶ τὰ τέκνα ἔτεκες τῷ Διΐ. ΛΗ. οὐ πᾶσαι ὦ Ἥρα τοιούτους τίκτειν δυνάμεθα, οἷος ὁ Ἥφαιστός ἐστιν. Η. ἀλλ' οὗτος μὲν ὁ χωλός, ὅμως χρήσιμός γε ἐστί, τεχνίτης ὢν ἄριστος, καὶ κατακεκόσμηκεν ἡμῖν τὸν οὐρανόν, καὶ τὴν Ἀφροδίτην ἔγημε, καὶ σπουδάζεται πρὸς αὐτῆς. οἱ δὲ σοὶ παῖδες, ἡ μὲν αὐτῶν ἀρρενική, πέρα τοῦ μέτρου, καὶ ὄρειος. καὶ τὸ τελευταῖον, ἐς τὴν Σκυθίαν ἀπελθοῦσα, πάντες ἴσασιν οἷα ἐσθίει ξενοκτονοῦσα, καὶ μιμουμένη τοὺς Σκύθας αὐτούς, ἀνθρωποφάγους ὄντας. ὁ δ' Ἀπόλλων, προσποιεῖται μὲν πάντα εἰδέναι, καὶ τοξεύειν, καὶ κιθαρίζειν, καὶ ἰατρὸς εἶναι, καὶ μαντεύεσθαι, καὶ καταστησάμενος ἐργαστήρια τῆς μαντικῆς, τὸ μὲν ἐν Δελφοῖς, τὸ δ'

ἐν Κλάρῳ, καὶ ἐν Διδύμοις, ἐξαπατᾷ τοὺς χρωμένους αὐτῷ, λοξὰ καὶ ἐπαμφοτερίζοντα πρὸς ἑκάτερον τῆς ἐρωτήσεως ἀποκρινόμενος, ὡς ἀκίνδυνον εἶναι τὸ σφάλμα. καὶ πλουτεῖ μὲν ἀπὸ τοῦ τοιούτου. πολλοὶ γὰρ οἱ ἀνόητοι, καὶ παρέχοντες αὑτοὺς καταγοητεύεσθαι. πλὴν οὐκ ἀγνοεῖταί γε ὑπὸ τῶν συνετωτέρων, τὰ πολλὰ τερατευόμενος. αὐτὸς γοῦν ὁ μάντις ἠγνόει, ὅτι φονεύσει μὲν τὸν ἐρώμενον τῷ δίσκῳ. οὐ προεμαντεύσατο δὲ, ὡς φεύξεται αὐτὸν ἡ Δάφνη, καὶ ταῦτα οὕτω καλὸν καὶ κομήτην ὄντα. ὥστε οὐχ ὁρῶ καθότι καλλιτεκνοτέρα τῆς Νιόβης ἔδοξας. Λη. ταῦτα μέντοι τὰ τέκνα ἡ ξενοκτόνος, καὶ ὁ ψευδόμαντις, οἶδα ὅπως λυπεῖ σε ὁρώμενα ἐν τοῖς θεοῖς, καὶ μάλιστα ὅταν ἡ μὲν ἐπαινῆται εἰς τὸ κάλλος, ὁ δὲ κιθαρίζῃ ἐν τῷ συμποσίῳ θαυμαζόμενος ὑφ' ἁπάντων. Η. ἐγέλασα ὦ Λητοῖ. ἐκεῖνος θαυμαστὸς, ὃν ὁ Μαρσύας, εἰ τὰ δίκαια αἱ μοῦσαι δικάσαι ἤθελον, ἀπέδειρεν ἂν, αὐτὸς κρατήσας τῇ μουσικῇ; νῦν δὲ κατασοφισθεὶς ἄθλιος ἀπόλωλεν, ἀδίκως ἁλούς. ἡ δὲ καλή σου παρθένος οὕτω καλή ἐστιν, ὥστε ἐπεὶ ἔμαθεν ὀφθεῖσα ὑπὸ τοῦ Ἀκταίωνος, φοβηθεῖσα μὴ ὁ νεανίσκος ἐξαγορεύσῃ τὸ αἶσχος αὐτῆς, ἐπαφῆκεν αὐτῷ τοὺς κύνας. ἐῶ γὰρ λέγειν ὅτι οὐδὲ τὰς τικούσας ἐμαιοῦτο,

πρόθυμόν γε καὶ αὐτὴ οὖσα. Λη. μέγα ὦ Ἥρα φρονεῖς, ὅτι ξυνεῖ τῷ Διΐ, καὶ συμβασιλεύεις αὐτῷ, καὶ διὰ τοῦτο ὑβρίζεις ἀδεῶς. πλὴν ἀλλ' ὄψομαί σε μετ' ὀλίγον αὖθις δακρύουσαν, ὁπόταν σε καταλιπὼν εἰς τὴν γῆν κατίῃ, ταῦρος ἢ κύκνος γενόμενος.

## ΑΡΟΛΛΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ.

Τί γελᾷς ὦ Ἑρμῆ; Ερ. ὅτι γελοιότατα ὦ Ἄπολλον εἶδον. Απο. εἰπὲ οὖν, ὡς καὶ αὐτὸς ἀκούσας ἔχω ξυγγελᾶν. Ερ. ἡ Ἀφροδίτη ξυνοῦσα τῷ Ἄρεϊ, κατείληπται, καὶ ὁ Ἥφαιστος ἔδησεν αὐτοὺς ξυλλαβών. Απο. πῶς; ἡδὺ γάρ τι ἐρεῖν ἔοικας. Ερ. ἐκ πολλοῦ οἶμαι ταῦτα εἰδὼς ἐθήρευεν αὐτούς. καὶ περὶ τὴν εὐνὴν ἀφανῆ δεσμὰ περιθεὶς, εἰργάζετο ἀπελθὼν ἐπὶ τὴν κάμινον. εἶτα ὁ μὲν Ἄρης εἰσέρχεται λαθὼν, ὡς ᾤετο. καθορᾷ δὲ αὐτὸν ὁ ἥλιος, καὶ λέγει πρὸς τὸν Ἥφαιστον. ἐπεὶ δὲ ἐπέβησαν τοῦ λέχους, καὶ ἐν ἔργῳ ἦσαν, καὶ ἐντὸς ἐγεγένηντο τῶν ἀρκύων, περιπλέκεται μὲν αὐτοῖς τὰ δεσμὰ, ἐφίσταται δὲ αὐτοῖς ὁ Ἥφαιστος. ἐκείνη μὲν οὖν, καὶ γὰρ ἔτυχε γυμνὴ οὖσα, οὐκ εἶχεν ὅπως ἐγκαλύψαιτο αἰδουμένη. ὁ δὲ Ἄρης τὰ μὲν πρῶτα διαφυγεῖν ἐπειρᾶτο, καὶ ἤλπιζε ῥήξειν τὰ δεσμά. ἔπειτα δὲ συνεὶς ἐν ἀφύκτῳ ἐχόμενον ἑαυτὸν, ἱκέτευε. Απο. τί οὖν, ἀπέλυσεν αὐτοὺς ὁ Ἥφαιστος; Ερ. οὐδέπω,

ἀλλὰ

ἀλλὰ ξυγκαλέσας τοὺς θεοὺς, ἐπιδείκνυται τὴν μοιχείαν αὐτοῖς. οἱ δὲ, γυμνοὶ ἀμφότεροι κάτω νενευκότες, ξυνδεδεμένοι ἐρυθριῶσι. καὶ τὸ θέαμα ἥδιστον ἐμοὶ ἔδοξε μονονουχὶ αὐτὸ γιγνόμενον τὸ ἔργον. ΑΠΟ. ὁ δὲ χαλκεὺς ἐκεῖνος, οὐκ αἰδεῖται καὶ αὐτὸς ἐπιδεικνύμενος τὴν αἰσχύνην τοῦ γάμου; ΕΡ. μὰ Δί', ὅς γε καὶ ἐπιγελᾷ αὐτοῖς ἐφεστώς. ἐγὼ μέντοι, εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἐφθόνουν τῷ Ἄρει, μὴ μόνον μοιχεύσαντι τὴν καλλίστην θεὸν, ἀλλὰ καὶ δεδεμένῳ μετ' αὐτῆς. ΑΠΟ. οὐκοῦν καὶ δεδέσθαι ἂν ὑπέμεινας ἐπὶ τούτῳ; ΕΡ. σὺ δ' οὐκ ἂν ὦ Ἄπολλον; ἰδὲ μόνον ἐπελθών. ἐπαινέσομαι γάρ σε, ἢν μὴ τὰ ὅμοια καὶ αὐτὸς εὔξῃ ἰδών.

## ΗΡΑΣ ΚΑΙ ΔΙΟΣ. ΗΡΑ.

Ἐγὼ μὲν ᾐσχυνόμην ἂν ὦ Ζεῦ, εἴ μοι τοιοῦτος ἦν υἱὸς, θῆλυς οὕτω, καὶ διεφθαρμένος ὑπὸ τῆς μέθης. μίτρᾳ μὲν ἀναδεδεμένος τὴν κόμην, τὰ πολλὰ δὲ μαινομέναις γυναιξὶ συνὼν, ἁβρότερος αὐτῶν ἐκείνων, ὑπὸ τυμπάνοις καὶ αὐλοῖς καὶ κυμβάλοις χορεύων. καὶ ὅλως παντὶ μᾶλλον ἐοικὼς, ἢ σοὶ τῷ πατρί. Ζ. καὶ μὴν οὗτός γε ὁ θηλυμίτρης, ὁ ἁβρότερος τῶν γυναικῶν, οὐ μόνον ὦ Ἥρα τὴν Λυδίαν ἐχειρώσατο, καὶ τοὺς κατοικοῦντας τὸν Τμῶλον ἔλαβε, καὶ τοὺς Θρᾷκας ὑπηγάγετο, ἀλλὰ καὶ ἐπ' Ἰνδοὺς ἐλάσας τῷ γυ-

ναικείῳ τούτῳ στρατιωτικῷ τούς τε ἐλέφαντας εἷλε, καὶ τῆς χώρας ἐκράτησε, καὶ τὸν βασιλέα πρὸς ὀλίγον ἀντιστῆναι τολμήσαντα, αἰχμάλωτον ἀπήγαγε. καὶ ταῦτα ἅπαντα ἔπραξεν, ὀρχούμενος ἅμα, καὶ χορεύων, θύρσοις χρώμενος κιττίνοις, μεθύων ὡς φῂς, καὶ ἐνθεάζων. εἰ δέ τις ἐπεχείρησε λοιδορήσασθαι αὐτῷ, ὑβρίσας εἰς τὴν τελετὴν, καὶ τοῦτον ἐτιμωρήσατο, ἢ καταδήσας τοῖς κλήμασιν, ἢ διασπασθῆναι ποιήσας ὑπὸ τῆς μητρὸς ὥσπερ νεβρόν. ὁρᾷς ὡς ἀνδρεία ταῦτα, καὶ οὐκ ἀνάξια τοῦ πατρός; εἰ δὲ παιδιὰ καὶ τρυφὴ πρόσεστιν αὐτοῖς, οὐδεὶς φθόνος. καὶ μάλιστα εἰ λογίσαιτό τις οἷος ἂν νήφων οὗτος ἦν, ὅπου ταῦτα μεθύων ποιεῖ. Η. σύ μοι δοκεῖς ἐπαινέσεσθαι καὶ τὸ εὕρεμα αὐτοῦ τὴν ἄμπελον, καὶ τὸν οἶνον. καὶ ταῦτα, ὁρῶν οἷα οἱ μεθυσθέντες ποιοῦσι σφαλλόμενοι, καὶ πρὸς ὕβριν τρεπόμενοι, καὶ ὅλως μεμηνότες ὑπὸ τοῦ ποτοῦ. τὸν γοῦν Ἰκάριον, ᾧ πρώτῳ ἔδωκε τὸ κλῆμα, οἱ ξυμπόται αὐτοὶ διέφθειραν, παίοντες ταῖς δικέλλαις. Ζ. οὐδὲν τοῦτο φῂς. οὐ γὰρ οἶνος ταῦτα, οὐδὲ ὁ Διόνυσος ποιεῖ· τὸ δὲ ἄμετρον τῆς πόσεως, καὶ τὸ πέρα τοῦ καλῶς ἔχοντος ἐμφορεῖσθαι τοῦ ἀκράτου. ὃς δ᾽ ἂν ἔμμετρα πίνῃ, ἱλαρώτερος μὲν, καὶ ἡδίων γένοιτ᾽ ἄν. οἷον δὲ ὁ Ἰκάριος ἔπαθεν, οὐδὲν ἂν ἐργάσαιτο οὐδένα



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0046

τῶν ξυμποτῶν. ἀλλὰ σὺ ὑποζηλοτυπεῖν ἔοικας ὦ Ἥρα, καὶ τῆς Σεμέλης μνημονεύειν, εἴγε διαβάλλεις τοῦ Διονύσου τὰ κάλλιστα.

ΑΦΡΟΔΙΤΗΣ ΚΑΙ ΕΡΩΤΟΣ.

Τί δή ποτε ὦ Ἔρως, τοὺς μὲν ἄλλους θεοὺς κατηγωνίσω ἅπαντας, τὸν Ποσειδῶ, τὸν Ἀπόλλω, τὴν Ῥέαν, ἐμὲ τὴν μητέρα, μόνης δὲ ἀπέχῃ τῆς Ἀθηνᾶς, καὶ ἐπ' ἐκείνης ἄπυρος μέν σοι ἡ δᾲς, κενὴ δὲ οἰστῶν ἡ φαρέτρα, σὺ δὲ ἄτοξος εἶ, καὶ ἄστοχος; Ερ. δέδια ὦ μῆτερ αὐτήν. φοβερὰ γάρ ἐστι, καὶ χαροπή, καὶ δεινῶς ἀνδρική. ὁπόταν οὖν ἐντειναμένος τὸ τόξον ἴω ἐπ' αὐτήν, ἐπισείουσα τὸν λόφον, ἐκπλήττει με, καὶ ὑπότρομος γίνομαι, καὶ ἀπορρεῖ μου τὰ τοξεύματα ἐκ τῶν χειρῶν. Αφρο. ὁ Ἄρης γὰρ οὐ φοβερώτερος ἦν, καὶ ὅμως ἀφώπλισας αὐτόν, καὶ νενίκηκας. Ερ. ἀλλ' ἐκεῖνος ἑκὼν προσίεταί με, καὶ προσκαλεῖται. ἡ ἀθηνᾶ δὲ, ὑφορᾶται ἀεί. καί ποτε ἐγὼ μὲν ἄλλως παρέπτην, πλησίον ἔχων τὴν λαμπάδα. ἡ δὲ, εἴ μοι πρόσει φησί, νὴ τὸν πατέρα, τῷ δορατίῳ σε διαπείρασα, ἢ τοῦ ποδὸς λαβομένη, καὶ ἐς τὸν τάρταρον ἐμβαλοῦσα, ἢ αὐτὴ διασπασαμένη, διαφθερῶ. πολλὰ τοιαῦτα ἠπείλησε. καὶ ὁρᾷ δὲ δριμύ, καὶ ἐπὶ τοῦ στήθους ἔχει πρόσωπόν τι φοβερόν, ἐχίδναις κατάκομον, ὅπερ ἐγὼ μάλιστα

δέδια. μορμολύττεται γάρ με. καὶ φεύγω ὅταν ἴδω αὐτό. Αφρο. ἀλλὰ τὴν μὲν Ἀθηνᾶν δέδιας ὡς φής, καὶ τὴν Γοργόνα. καὶ ταῦτα, μὴ φοβηθεὶς τὸν κεραυνὸν τοῦ Διός. αἱ δὲ μοῦσαι, διὰ τί σοι ἄτρωτοι, καὶ ἔξω βελῶν εἰσιν; ἢ κἀκεῖναι λόφους ἐπισείουσι, καὶ Γοργόνας προφαίνουσιν; Ερ. αἰδοῦμαι αὐτὰς ὦ μῆτερ. σεμναὶ γάρ εἰσι, καὶ ἀεί τι φροντίζουσι, καὶ περὶ ᾠδὴν ἔχουσι. καὶ ἐγὼ παρίσταμαι πολλάκις αὐταῖς, κηλούμενος ὑπὸ τοῦ μέλους. Αφρο. ἔα καὶ ταύτας, ὅτι σεμναί. τὴν δ᾽ Ἄρτεμιν τίνος ἕνεκα οὐ τιτρώσκεις; Ερ. τὸ μὲν ὅλον, οὐδὲ καταλαβεῖν αὐτὴν οἷόν τε, φεύγουσαν ἀεὶ διὰ τῶν ὀρῶν. εἶτα καὶ ἴδιόν τινα ἔρωτα ἤδη ἐρᾷ. Αφρο. τίνος ὦ τέκνον; Ερ. θήρας, καὶ ἐλάφων, καὶ νεβρῶν, αἱρεῖν τε διώκουσα, καὶ κατατοξεύειν, καὶ ὅλως πρὸς τῷ τοιούτῳ ἐστίν. ἐπεὶ τόν γε ἀδελφὸν αὐτῆς, καίτοι τοξότην καὶ αὐτὸν ὄντα, καὶ ἑκηβόλον. Αφρο. οἶδα ὦ τέκνον, πολλὰ ἐκεῖνον ἐτόξευσας.

## ΘΕΩΝ ΚΡΙΣΙΣ. ΖΕΥΣ.

Ερμῆ, λαβὼν τουτὶ τὸ μῆλον, ἄπιθι ἐς τὴν Φρυγίαν παρὰ τὸν Πριάμου παῖδα, τὸν βουκόλον. νέμει δὲ τῆς Ἴδης ἐν τῷ Γαργάρῳ, καὶ λέγε πρὸς αὐτόν, ὅτι σε ὦ Πάρι, κελεύει ὁ Ζεύς, ἐπειδὴ καλός τε αὐτὸς εἶ, καὶ σοφὸς τὰ ἐρωτικά, δικάσαι ταῖς θεαῖς, ἥτις αὐτῶν ἡ καλλίστη ἐστί. τοῦ δὲ

δὲ ἀγῶνος τὸ ἆθλον ἡ νικῶσα λαβέτω τὸ μῆλον.
ὥρα δὲ ἤδη καὶ ὑμῖν αὐταῖς ἀπιέναι πρὸς τὸν δι-
καστήν. ἐγὼ δὲ ἀπωθοῦμαι τὴν δίαιταν, ἐπίσης
τε ὑμᾶς ἀγαπῶν. καὶ εἴγε οἷόν τε ἦν, ἡδέως ἂν
ἁπάσας νενικηκυίας εἶδον. ἄλλως τε καὶ ἀνάγκη
μιᾷ τὸ καλλιστεῖον ἀποδόντα, πάντως ἀπεχθά-
νεσθαι ταῖς πλείοσι. διὰ ταῦτα μὲν αὐτὸς οὐκ ἐπι-
τήδειος ὑμῖν δικαστής. ὁ δὲ νεανίας αὐτὸς ὁ Φρὺξ,
ἐφ' ὃν ἄπιτε, βασιλικὸς μέν ἐστι, καὶ Γανυμήδους
τούτου ξυγγενής. τἆλλα δὲ, ἀφελὴς καὶ ὄρειος.
κοὐκ ἄν τις αὐτὸν ἀπαξιώσειε τοιαύτης θέας.
Ἀφρο. ἐγὼ μὲν ὦ Ζεῦ, εἰ καὶ τὸν Μῶμον αὐτὸν ἐπι-
στήσειας ἡμῖν δικαστὴν, θαρροῦσα βαδιοῦμαι πρὸς
τὴν ἐπίδειξιν. τί γὰρ ἂν καὶ μωμήσαιτό μου; χρὴ
δὲ καὶ ταύταις ἀρέσκειν τὸν ἄνθρωπον. Ἡρα.
οὐδ' ἡμεῖς ὦ Ἀφροδίτη δεδίαμεν, οὐδ' ἂν ὁ
Ἄρης ὁ σὸς ἐπιτραπῇ τὴν δίαιταν, ἀλλὰ δεχό-
μεθα καὶ τοῦτον, ὅστις ἂν ᾖ, τὸν Πάριν. Ζ. ἦ καὶ σοὶ
ταῦτα ὦ θύγατερ συνδοκεῖ; τί φής; ἀποστρέφῃ,
καὶ ἐρυθριᾷς; ἔστι μὲν ἴδιον τὸ αἰδεῖσθαί γε τὰ τοιαῦ-
τα ὑμῶν τῶν παρθένων, ἐπινεύεις δὲ ὅμως. ἄπιτε
οὖν. καὶ ὅπως μὴ χαλεπήνητε τῷ δικαστῇ αἱ νε-
νικημέναι, μηδὲ κακόν τι ἐντρίψησθε τῷ νεανί-
σκῳ. οὐ γὰρ οἷόν τε ἐπίσης εἶναι καλὰς πάσας. Ερ.
προΐωμεν εὐθὺ τῆς Φρυγίας, ἐγὼ μὲν ἡγούμενος,
ὑμεῖς δὲ μὴ βραδέως ἀκολουθεῖτέ μοι. καὶ θαρρεῖ-



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0049

τε, οἶδα ἐγὼ τὸν Πάριν. νεανίας ἐστὶ καλὸς, καὶ τἆλλα ἐρωτικὸς, καὶ τὰ τοιαῦτα κρίνειν ἱκανώτατος, οὐκ ἂν ἐκεῖνος δικάσειε κακῶς. Αφρο. τοῦτο μὲν ἅπαν ἀγαθὸν, καὶ πρὸς ἐμοῦ λέγεις, τὸ δίκαιον ἡμῖν εἶναι τὸν δικαστήν. πότερα δὲ, ἄγαμός ἐστιν οὗτος, ἢ καὶ γυνή τις αὐτῷ σύνεστιν; Ερ. οὐ παντελῶς ἄγαμός ἐστιν ὦ Αφροδίτη. Αφρο. πῶς λέγεις; Ερ. δοκεῖ τις αὐτῷ συνοικεῖν ἰδαία γυνὴ, ἱκανὴ μὲν, ἄγροικος δὲ, καὶ δεινῶς ὄρειος· ἀλλ' οὐ σφόδρα προσέχειν αὐτῇ ἔοικε. τίνος δ' οὖν ἕνεκα ταῦτα ἐρωτᾷς; Αφρο. ἄλλως ἠρόμην. Αθη. παραπρεσβεύεις ὦ οὗτος ἰδίᾳ ταύτῃ κοινολογούμενος; Ερ. οὐδὲν ὦ Αθηνᾶ δεινὸν, οὐδὲ καθ' ὑμῶν. ἀλλ' ἤρετό με, εἰ ἄγαμος ὁ Πάρις ἐστίν; Αθη. ὡς δὴ τί τοῦτο πολυπραγμονοῦσα; Ερ. οὐκ οἶδα. φησὶ δ' οὖν ὅτι ἄλλως ἐπελθὸν, οὐκ ἐξεπίτηδες ἤρετό με. Αθη. τί οὖν ἄγαμός ἐστιν; Ερ. οὐ δοκεῖ. Αθη. τί δὲ τῶν πολεμικῶν ἐστιν αὐτῷ ἐπιθυμία, καὶ φιλόδοξός τις, ἢ τὸ πᾶν βουκόλος; Ερ. τὸ μὲν ἀληθὲς οὐκ ἔχω λέγειν. εἰκάζειν δὲ χρὴ, νέον ὄντα, καὶ τούτων ὀρέγεσθαι τυχεῖν, καὶ βούλεσθαι ἂν αὐτὸν πρῶτον εἶναι κατὰ τὰς μάχας. Αφρο. ὁρᾷς; οὐδὲν ἐγὼ μέμφομαι, οὐδὲ προσεγκαλῶ σοι, τὸ πρὸς ταύτην ἰδίᾳ λαλεῖν. μεμψιμοίρων γὰρ, καὶ οὐκ Αφροδίτης τὰ τοιαῦτα. Ερ. καὶ αὕτη σχεδὸν τὰ αὐτά με

τὰ μὲν ἥρῳ. διὸ μὴ χαλεπῶς ἔχε, μηδ' οἴου μειονεκτεῖν, εἴ τι καὶ ταύτῃ κατὰ τὸ ἁπλοῦν ἀπεκρινάμην. ἀλλὰ μεταξὺ λόγων ἤδη πολὺ προϊόντες, ἀπεσπάσαμεν τῶν ἀστέρων, καὶ σχεδόν γε κατὰ τὴν Φρυγίαν ἐσμέν. ἐγὼ δὲ καὶ τὴν Ἴδην ὁρῶ, καὶ τὸ Γάργαρον ὅλον ἀκριβῶς. εἰ δὲ μὴ ἐξαπατῶμαι, καὶ αὐτὸν ὑμῶν τὸν δικαστὴν τὸν Πάριν. Ηρα. ὅπου δέ ἐστιν; οὐ γὰρ κἀμοὶ φαίνεται. Ερ. ταύτῃ ὦ Ηρα, πρὸς τὰ λαιὰ σκόπει, μὴ πρὸς ἄκρῳ τῷ ὄρει. παρὰ δὲ τὴν πλευράν, οὗ τὸ ἄντρον, καὶ τὴν ἀγέλην ὁρᾷς; Ηρα. ἀλλ' οὐχ ὁρῶ τὴν ἀγέλην. Ερ. τί φής, οὐχ ὁρᾷς βοΐδια κατὰ τὸν ἐμὸν οὑτωσὶ δάκτυλον, ἐκ μέσων τῶν πετρῶν προερχόμενα; καί τινα ἐκ τοῦ σκοπέλου καταθέοντα, καλαύροπα ἔχοντα, καὶ ἀνείργοντα μὴ πρόσω διασκίδνασθαι τὴν ἀγέλην; Ηρα. ὁρῶ νῦν, εἴ γε ἐκεῖνός ἐστιν. Ερ. ἀλλ' ἐκεῖνος. ἐπειδὴ δὲ πλησίον ἐσμὲν ἤδη τῆς γῆς, εἰ δοκεῖ, καταστάντες, βαδίζωμεν, ἵνα μὴ διαταράξωμεν αὐτὸν ἄνωθεν ἐξ ἀφανοῦς καθιπτάμενοι. Ηρα. εὖ λέγεις, καὶ οὕτω ποιῶμεν. ἐπεὶ δὲ καταβεβήκαμεν, ὥρα σοι ὦ Αφροδίτη προϊέναι, καὶ ἡγεῖσθαι ἡμῖν τῆς ὁδοῦ. σὺ γὰρ ὡς τὸ εἰκός, ἔμπειρος εἶ τοῦ χωρίου, πολλάκις ὡς λόγος κατελθοῦσα πρὸς Ἀγχίσην. Αφρο. οὐ σφόδρα ὦ Ηρα, τούτοις ἄχθομαι τοῖς σκώμμασιν. Ερ.

ἀλλ' ἐγὼ ὑμῖν ἡγήσομαι. καὶ γὰρ αὐτὸς ἐνδιέτρι-
ψα τῇ Ἴδῃ, ὁπότε ὁ Ζεὺς ἤρα τοῦ μειρακίου τοῦ Φρυ-
γός. καὶ πολλάκις δεῦρο ἦλθον, ὑπ' ἐκείνου κατα-
πεμφθεὶς εἰς ἐπισκοπὴν τοῦ παιδός. καὶ ὁπότε
ἤδη ἐν τῷ ἀετῷ ἦν, συμπαριπτάμην αὐτῷ, καὶ
συνεκούφιζον τὸν καλόν. καὶ εἴγε μέμνημαι, ἀπὸ
ταυτησὶ τῆς πέτρας αὐτὸν ἀνήρπασεν. ὁ μὲν γὰρ
τότε ἔτυχε συρίζων πρὸς τὸ ποίμνιον. καταπτά-
μενος δὲ ὄπισθεν αὐτοῦ ὁ Ζεὺς, κούφως μάλα τοῖς
ὄνυξι περιβαλὼν, καὶ τῷ στόματι τὴν ἐπὶ τῇ κε-
φαλῇ τιάραν δακὼν, ἀνέφερε τὸν παῖδα τετα-
ραγμένον, καὶ τῷ τραχήλῳ ἀπεστραμμένῳ εἰς αὐ-
τὸν ἀποβλέποντα. τότε οὖν ἐγὼ τὴν σύριγγα ἔ-
λαβον. ἀποβεβλήκει γὰρ αὐτὴν ὑπὸ τοῦ δέους. ἀλλὰ
γὰρ ὁ διαιτητὴς οὑτοσὶ, πλησίον. ὥστε προσεί-
πωμεν αὐτόν. χαῖρε ὦ βουκόλε. Πά. νὴ καὶ σύγε
ὦ νεανίσκε. τίς δὲ ὢν δεῦρο ἀφῖξαι πρὸς ἡμᾶς;
ἢ τίνας ταύτας ἄγεις τὰς γυναῖκας; οὐ γὰρ ἐπι-
τήδειαι ὀρεοπολεῖν, οὕτω γε οὖσαι καλαί. Ερ.
ἀλλ' οὐ γυναῖκές εἰσιν. Ἥραν δὲ ὦ Πάρι, καὶ Ἀθη-
νᾶν, καὶ Ἀφροδίτην ὁρᾷς, κἀμὲ τὸν Ἑρμῆν ἀπέ-
στειλεν ὁ Ζεύς. ἀλλὰ τί τρέμεις, καὶ ὠχριᾷς; καὶ μὴ
δέδιθι. χαλεπὸν γὰρ οὐδέν. κελεύει δέ σε δικα-
στὴν γενέσθαι τοῦ κάλλους αὐτῶν. ἐπειδὴ γάρ φησι
καλός τε αὐτὸς εἶ, καὶ σοφὸς τὰ ἐρωτικὰ, σοὶ τὴν
γνῶσιν ἐπιτρέπω, τοῦ δ' ἀγῶνος τὸν ἆθλον εἴσῃ,

ἀναγνοὺς

ἀναγνοὺς τὸ μῆλον. Αλε. φέρ' ἴδω τί καὶ βούλεται. ἡ καλή φησι λαβέτω. πῶς ἂν οὖν ὦ δέσποτα Ερμῆ δυνηθείην ἐγὼ θνητὸς αὐτὸς, καὶ ἄγροικος ὢν, δικαστὴς γενέσθαι παραδόξου θέας, καὶ μείζονος ἢ κατὰ βουκόλον; τὰ γὰρ τοιαῦτα κρίνειν τῶν ἁβρῶν μᾶλλον, καὶ ἀστικῶν. τὸ δ' ἐμὸν, αἶγα μὲν αἰγὸς ὁποτέρα ἡ καλλίων, καὶ δάμαλιν ἄλλης δαμάλεως, τάχ' ἂν δικάσαιμι κατὰ τὴν τέχνην. αὗται δὲ πᾶσαί τε ὁμοίως καλαὶ, καὶ οὐκ οἶδ' ὅπως ἄν τις ἀπὸ τῆς ἑτέρας ἐπὶ τὴν ἑτέραν μεταγάγοι τὴν ὄψιν ἀποσπάσας. οὐ γὰρ ἐθέλει ἀφίστασθαι ῥᾳδίως, ἀλλ' ἔνθα ἂν ἀπερείσῃ τὸ πρῶτον, τούτου ἔχεται, καὶ τὸ παρὸν ἐπαινεῖ. κἂν ἐπ' ἄλλο μεταβῇ, κἀκεῖνο καλὸν ὁρᾷ, καὶ παραμένει, καὶ ὑπὸ τῶν πλησίον παραλαμβάνεται. καὶ ὅλως περικέχυταί μοι τὸ κάλλος αὐτῶν, καὶ ὅλον περιείληφέ με. καὶ ἄχθομαι, ὅτι μὴ καὶ αὐτὸς ὥσπερ ὁ Αργος ὅλῳ βλέπειν δύναμαι τῷ σώματι. δοκῶ δ' ἄν μοι καλῶς δικάσαι, πάσαις ἀποδοὺς τὸ μῆλον. καὶ γὰρ αὖ καὶ τόδε, ταύτην μὲν εἶναι συμβέβηκε τοῦ Διος ἀδελφὴν καὶ γυναῖκα, ταύτας δὲ θυγατέρας. πῶς οὖν οὐ χαλεπὴ καὶ οὕτως ἡ κρίσις; Ερ. οὐκ οἶδα. πλὴν οὐχ οἷόν τε ἀναλῦσαι πρὸς τοῦ Διός κεκελευσμένον. Αλέ. ἓν τοῦτο ὦ Ερμῆ πεῖσαι αὐτὰς, μὴ χαλεπῶς ἔχειν μοι τὰς δύο τὰς νενικημένας, ἀλλὰ μόνων τῶν ὀφθαλμῶν ἡγεῖσθαι τὴν

διαμαρτίαν. Ερ. οὕτω φασὶ ποιήσειν. ὥρα δέ
σοι ἤδη περαίνειν τὴν κρίσιν. Αλε. πειρασό-
μεθα. τί γὰρ ἂν καὶ πάθοι τις; ἐκεῖνο δὲ πρῶτον
εἰδέναι βούλομαι, πότερα ἐξαρκέσει σκοπεῖν
αὐτὰς ὡς ἔχουσιν, ἢ καὶ ἀποδύσαι δεήσει πρὸς τὸ
ἀκριβὲς τῆς ἐξετάσεως; Ερ. τοῦτο μὲν σὸν ἂν εἴη
τοῦ δικαστοῦ, καὶ πρόσαττε ὅπῃ καὶ θέλεις. Πα.
ὅπῃ καὶ θέλω; γυμνὰς ἰδεῖν βούλομαι. Ερ. ἀπό-
δυτε ὦ αὗται, σὺ δ' ἐπισκόπει. ἐγὼ δ' ἀπο-
στραφείην. Ηρα. καλῶς ὦ Πάρι. καὶ πρώτη γε ἀ-
ποδύσομαι, ὅπως μάθῃς ὅτι μὴ μόνας ἔχω τὰς
ὠλένας λευκάς, μηδὲ τῷ βοῶπις εἶναι μέγα φρο
νῶ. ἐπίσης δὲ εἰμὶ πᾶσα, καὶ ὁμοίως καλή. Πα.
ἀπόδυθι καὶ σὺ ὦ Αφροδίτη. ΑΘ. μὴ πρότε-
ρον αὐτὴν ἀποδύσῃς ὦ Πάρι, πρὶν ἂν τὸν κεστὸν
ἀπόθηται. φαρμακὶς γάρ ἐστι, μή σε καταγοη-
τεύσῃ δι' αὐτοῦ. καίτοιγε ἐχρῆν μηδ' οὕτω κε-
καλλωπισμένην παρεῖναι, μηδὲ τοσαῦτα ἐντε-
τριμμένην χρώματα, καθάπερ ὡς ἀληθῶς ἑταί-
ραν τινά, ἀλλὰ γυμνὸν τὸ κάλλος ἐπιδεικνύειν.
Πα. εὖ λέγουσι τὸ περὶ τοῦ κεστοῦ. καὶ ἀπόθου.
Αφρο. τί οὖν οὐχὶ καὶ σὺ Αθηνᾶ τὴν κόρυν ἀ-
φελοῦσα, ψιλὴν τὴν κεφαλὴν ἐπιδεικνύεις, ἀλλ'
ἐπισείεις τὸν λόφον, καὶ τὸν δικαστὴν φοβεῖς; ἢ
δέδιας, μή σοι ἐλέγχηται τὸ γλαυκὸν τῶν ὀμμά-
των ἄνευ τοῦ φοβεροῦ βλεπόμενον; Αθη. ἰδού σοι
ἡ κόρυς

ἡ κόρυς αὕτη ἀφῄρηται. Αφρο. ἰδοὺ σοι καὶ ὁ κεστός. Ηρα. ἀλλ᾽ ἀποδυσώμεθα. Πα. ὦ Ζεῦ τεράστιε τῆς θέας, τοῦ κάλλους, τῆς ἡδονῆς. οἵα μὲν ἡ παρθένος; ὡς δὲ βασιλικὸν αὕτη καὶ σεμνὸν ἀπολάμπει, καὶ ἀληθῶς ἄξιον τοῦ Διός; ὡς δὲ ὁρᾷ ἡδέως, καὶ γλαφυρόν τι, καὶ προσαγωγὸν ἐμειδίασεν. ἀλλ᾽ ἤδη μὲν ἅλις ἔχω τῆς εὐδαιμονίας. εἰ δοκεῖ δὲ, καὶ ἰδίᾳ καθ᾽ ἑκάστην ἐπιδεῖν βούλομαι, ὡς νῦν γε ἀμφίβολός εἰμι, καὶ οὐκ οἶδα πρὸς ὅ,τι καὶ ἀποβλέψω, πάντῃ τὰς ὄψεις περισπώμενος. Αφρο. οὕτω ποιῶμεν. Πα. ἄπιτε οὖν αἱ δύο. σὺ δὲ ὦ Ηρα περίμενε. Ηρα. περιμενῶ. κἀπειδάν με ἀκριβῶς ἴδῃς, ὥρα σοι καὶ τἆλλα ἤδη σκοπεῖν, εἰ καλά σοι τὰ δῶρα τῆς νίκης τῆς ἐμῆς. ἢν γάρ με ὦ Πάρι δικάσῃς εἶναι καλήν, ἁπάσης ἔσῃ τῆς Ασίας δεσπότης. Πα. οὐκ ἐπὶ δώροις μὲν τὰ ἡμέτερα. πλὴν ἀλλ᾽ ἄπιθι, πεπράξεται γὰρ ἅπερ ἂν δοκῇ. σὺ δὲ πρόσιθι Αθηνᾶ. Αθη. παρέστηκά σοι. κἄν με ὦ Πάρι δικάσῃς καλήν, οὔποτε ἥττων ἄπει ἐκ μάχης, ἀλλ᾽ ἀεὶ κρατῶν. πολεμιστὴν γάρ σε, καὶ νικηφόρον ἀπεργάσομαι. Πα. οὐδὲν Αθηνᾶ δεῖ μοι πολέμου καὶ μάχης. εἰρήνη γὰρ ὡς ὁρᾷς τὰ νῦν ἐπέχει τὴν Φρυγίαν τε καὶ Λυδίαν, καὶ ἀπόλεμος ἡμῖν ἡ τοῦ πατρὸς ἀρχή. θάρρει δέ. οὐ μειονεκτήσεις γὰρ, κἂν μὴ ἐπὶ δώροις δικάζωμεν. ἀλλ᾽ ἔνδυθι ἤδη, καὶ

ἐπίθου τὴν κόρυν, ἱκανῶς γὰρ εἶδον. τὴν Ἀφροδίτην παρεῖναι καιρός. Ἀφρο. αὐτή σοι ἐγὼ πλησίον, καὶ σκόπει καθ' ἓν ἀκριβῶς, μηδὲν παρατρέχων, ἀλλ' ἐνδιατρίβων ἑκάστῳ τῶν μελῶν. εἰ δὲ θέλεις ὦ καλὲ, καὶ τάδε μου ἄκουσον. ἐγὼ γὰρ πάλαι ὁρῶσά σε νέον ὄντα, καὶ καλὸν ὁποῖον οὐκ οἶδα, εἴ τινα ἕτερον ἡ Φρυγία τρέφει, μακαρίζω μὲν τοῦ κάλλους, αἰτιῶμαι δὲ τὸ μὴ ἀπολιπόντα τοὺς σκοπέλους, καὶ ταυτασὶ τὰς πέτρας, κατ' ἄστυ ζῆν, ἀλλὰ διαφθείρειν τὸ κάλλος ἐν ἐρημίᾳ. τί μὲν γὰρ σὺ ἀπολαύσειας τῶν ὀρῶν; τί δ' ἂν ἀπόναιντο τοῦ σοῦ κάλλους αἱ βόες; ἔπρεπε δὲ ἤδη σοι γεγαμηκέναι, μὴ μέντοι ἄγροικόν τινα, καὶ χωρῖτιν, οἷαι κατὰ τὴν Ἴδην αἱ γυναῖκες, ἀλλά τινα ἐκ τῆς Ἑλλάδος, ἢ Ἀργόθεν, ἢ ἐκ Κορίνθου, ἢ Λάκαιναν, οἵαπερ ἡ Ἑλένη ἐστὶ, νέα, καὶ καλὴ, καὶ κατ' οὐδὲν ἐλάττων ἐμοῦ, καὶ τὸ δὴ μέγιστον, ἐρωτική. ἐκείνη γὰρ εἰ καὶ μόνον θεάσαιτό σε, εὖ οἶδ' ἐγὼ, πάντα ἀπολιποῦσα, καὶ παρασχοῦσα ἑαυτὴν ἔκδοτον, ἕψεται καὶ συνοικήσει. πάντως δὲ καὶ σὺ ἀκήκοάς τι περὶ αὐτῆς. Πά. οὐδὲν ὦ Ἀφροδίτη. νῦν δὲ ἡδέως ἂν ἀκούσαιμί σου, τὰ πάντα διηγουμένης. Ἀφρο. αὕτη θυγάτηρ μέν ἐστι Λήδας, ἐκείνης τῆς καλῆς, ἐφ' ἣν ὁ Ζεὺς κατέπτη, κύκνος γενόμενος. ποία δέ τις τὴν ὄψιν; λευκὴ μὲν, οἵαν εἰκὸς ἐκ κύκνου γεγενημένην. ἁπαλὴ δὲ, ὡς ἐν ᾠῷ τραφεῖσα. γυ-

μνὰς

μνὰς τὰ πολλὰ, καὶ παλαιστική. καὶ οὕτω δή τι περισπούδαστος, ὥστε καὶ πόλεμον ἀμφ' αὐτῇ γενέσθαι, τοῦ Θησέως ἄωρον ἔτι ἁρπάσαντος. οὐ μὴν, ἀλλ' ἐπειδήπερ εἰς ἀκμὴν κατέστη, πάντες οἱ ἄριστοι τῶν ἀχαιῶν ἐπὶ τὴν μνηστείαν ἀπήντησαν, προεκρίθη δὲ Μενέλαος τοῦ Πελοπιδῶν γένους. εἰ δὲ θέλεις, ἐγώ σοι καταπράξομαι τὸν γάμον. Πά. πῶς φῇς; τὸν τῆς γεγαμημένης; Αφρο. νέος εἶ σὺ, καὶ ἄγροικος. ἐγὼ δὲ οἶδα ὡς χρὴ τὰ τοιαῦτα δρᾶν. Πα. πῶς; ἐθέλω γὰρ καὶ αὐτὸς εἰδέναι. Αφρο. σὺ μὲν ἀποδημήσεις ὡς ἐπὶ θέαν δὴ τῆς Ελλάδος, κἀπειδὰν ἀφίκῃ εἰς τὴν Λακεδαίμονα, ὄψεταί σε ἡ Ελένη. τοὐντεῦθεν δὲ, ἐμὸν ἂν εἴη τὸ ἔργον, ὅπως ἐρασθήσεταί σου, καὶ ἀκολουθήσει. Πά. τοῦτ' αὐτὸ καὶ ἄπιστον εἶναί μοι δοκεῖ, τὸ ἀπολιποῦσαν τὸν ἄνδρα, ἐθελῆσαι βαρβάρῳ καὶ ξένῳ συνεκπλεῦσαι. Αφρο. θάρρει τούτου γε ἕνεκα. παῖδε γάρ μοι ἐστὸν δύο καλὼ, ἵμερος καὶ ἔρως. τούτω σοι παραδώσω ἡγεμόνε τῆς ὁδοῦ γενησομένω. καὶ ὁ μὲν ἔρως, ὅλος παρελθὼν εἰς αὐτὴν, ἀναγκάσει τὴν γυναῖκα ἐρᾶν. ὁ δ' ἵμερος, αὐτῷ σοι περιχυθεὶς, τοῦθ' ὅπερ ἐστὶν, ἱμερτόν τε θήσει, καὶ ἐράσμιον. καὶ αὐτὴ δὲ συμπαροῦσα, δεήσομαι καὶ τῶν χαρίτων ἀκολουθεῖν, ἅπαντες αὐτὴν ἀναπείσομεν. Πά. ὅπως μὲν ταῦτα χωρήσει, ἄδηλον, ὦ Αφροδίτη, πλὴν ἐρῶ γε ἤδη τῆς Ελένης. καὶ οὐκ

οἶδ' ὅπως καὶ ὁρᾶν αὐτὴν οἴομαι. καὶ πλέω δὲ εὐθὺ τῆς Ἑλλάδος, καὶ τῇ Σπάρτῃ ἐπιδημῶ, καὶ ἐπάνειμι ἔχων τὴν γυναῖκα. καὶ ἄχθομαι, ὅτι μὴ πάντα ταῦτα ἤδη ποιῶ. Αφρο. μὴ πρότερον ἐρασθῇς ὦ Πάρι, πρὶν ἐμὲ τὴν προμνήστριαν, καὶ νυμφαγωγόν, ἀμείψασθαι τῇ κρίσει. πρέπει γὰρ κἀμὲ νικηφόρον ὑμῖν συμπαρεῖναι, καὶ ἑορτάζειν ἅμα καὶ τοὺς γάμους καὶ τὰ ἐπινίκια. πάντα γὰρ ἔνεστί σοι, τὸν ἔρωτα, τὸ κάλλος, τὸν γάμον, τούτου τοῦ μήλου πρίασθαι. Πα. δέδοικα μή μου ἀμελήσεις μετὰ τὴν κρίσιν. Αφρο. βούλει οὖν ἐπομόσομαι; Πα. μηδαμῶς, ἀλλ' ὑπόσχου πάλιν. Αφρο. ὑπισχνοῦμαι δή σοι τὴν Ἑλένην παραδώσειν γυναῖκα, καὶ ἀκολουθήσειν γε ἐπ' αὐτήν, καὶ ἀφίξεσθαι παρ' ὑμᾶς εἰς τὴν Ἴλιον, καὶ αὐτὴ παρέσομαι, καὶ συμπράξω τὰ πάντα. Πα. καὶ τὸν ἔρωτα, καὶ τὸν ἵμερον, καὶ τὰς χάριτας ἄξεις; Αφρο. θάῤῥει. καὶ τὸν πόθον, καὶ τὸν ὑμέναιον προσέτι παραλήψομαι. Πα. οὐκοῦν ἐπὶ τούτοις δίδωμι τὸ μῆλον, ἐπὶ τούτοις λάμβανε.

## ΑΡΕΩΣ ΚΑΙ ΕΡΜΟΥ.

Ἤκουσας ὦ Ἑρμῆ οἷα ἠπείλησεν ἡμῖν ὁ Ζεύς, ὡς ὑπεροπτικά, καὶ ἀπίθανα; ἢν ἐθελήσω φησίν, ἐγὼ μὲν ἐκ τοῦ οὐρανοῦ σειρὰν καθήσω, ὑμεῖς δ' ἢν ἀποκρεμασθέντες, κατασπᾶν βιάζεσθέ με, μάτην πονήσετε. οὐ γὰρ δὴ καθελκύσετε.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0058

θελκύσετε. εἰ δὲ ἐγὼ θελήσαιμι ἀνελκύσαι, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τὴν γῆν ἅμα, καὶ τὴν θάλασσαν συναρτήσας, μετεωριῶ. καὶ τἆλλα, ὅσα καὶ σὺ ἀκήκοας. ἐγὼ δὲ ὅτι μὲν καθ' ἓν ἁπάντων ἀμείνων, καὶ ἰσχυρότερός ἐστιν, οὐκ ἂν ἀρνηθείην. ὁμοῦ δὲ τῶν τοσούτων ὑπερφέρειν, ὡς μὴ καταβαρήσειν αὐτὸν, κἂν τὴν γῆν κἂν τὴν θάλασσαν προσλάβωμεν, οὐκ ἂν πεισθείην. Ερ. εὐφήμει ὦ Αρες. οὐ γὰρ ἀσφαλὲς λέγειν τὰ τοιαῦτα, μὴ καί τι κακὸν ἀπολαύσωμεν τῆς φλυαρίας. Αρης. οἴει γάρ με πρὸς πάντας ἂν ταῦτα εἰπεῖν, οὐχὶ δὲ πρὸς μόνον σὲ, ὃν ἐχεμυθεῖν ἠπιστάμην; ὃ γοῦν μάλιστα γελοῖον ἔδοξέ μοι, ἀκούοντι μεταξὺ τῆς ἀπειλῆς, οὐκ ἂν δυναίμην σιωπῆσαι πρὸς σέ. μέμνημαι γὰρ οὐ πρὸ πολλοῦ, ὁπότε ὁ Ποσειδῶν, καὶ ἡ Ηρα, καὶ ἡ Αθηνᾶ ἐπαναστάντες, ἐπεβούλευον ξυνδῆσαι αὐτὸν λαβόντες, ὡς παντοῖος ἦν δεδιώς. καὶ ταῦτα, τρεῖς ὄντας. καὶ εἰ μή γε ἡ Θέτις κατελεήσασα ἐκάλεσεν αὐτῷ σύμμαχον Βριάρεων ἑκατόγχειρα ὄντα, κἂν ἐδέδετο αὐτῷ κεραυνῷ, καὶ βροντῇ. ταῦτα λογιζομένῳ, ἐπῄει μοι γελᾶν ἐπὶ τῇ καλλιρρημοσύνῃ αὐτοῦ. Ερ. σιώπα, εὐφήμει. οὐ γὰρ ἀσφαλὲς οὔτε σοὶ λέγειν, οὔτε ἐμοὶ ἀκούειν τὰ τοιαῦτα.

## ΠΑΝΟΣ ΚΑΙ ΕΡΜΟΥ. ΠΑΝ.

Χαῖρε ὦ πάτερ Ἑρμῆ. Ερ. νὴ καὶ σύ γε. ἀλλὰ πῶς ἐγὼ σὸς πατήρ; Πά. οὐχ ὁ Κυλλήνιος Ἑρμῆς ὢν τυγχάνεις; Ερ. καὶ μάλα. πῶς οὖν υἱὸς ἐμὸς εἶ; Πάν. μοιχίδιός εἰμι, ἐξ ἔρωτός σοι γενόμενος. Ερ. νὴ Δία τράγου ἴσως τινὸς μοιχεύσαντος αἶγα. ἐμὸς γὰρ πῶς κέρατα ἔχων, καὶ ῥῖνα τοιαύτην, καὶ πώγωνα λάσιον, καὶ σκέλη διχηλὰ, καὶ τραγικὰ, καὶ οὐρὰν ὑπὲρ τὰς πυγάς; Πάν. ὅσα ἂν ἀποσκώψῃς εἰς ἐμὲ, τὸν σεαυτοῦ υἱὸν ὦ πάτερ ἐπονείδιστον ἀποφαίνεις. μᾶλλον δὲ σεαυτὸν, ὃς τοιαῦτα γεννᾷς, καὶ παιδοποιεῖς, ἐγὼ δὲ ἀναίτιος. Ερ. τίνα δὲ καὶ φῂς σου μητέρα; ἤπου ἔλαθον αἶγα μοιχεύσας ἔγωγε; Πάν. οὐκ αἶγα ἐμοίχευσας, ἀλλ' ἀνάμνησον σεαυτὸν εἴποτε ἐν Ἀρκαδίᾳ παῖδα ἐλευθέραν ἐβιάσω. τί δακὼν τὸν δάκτυλον ζητεῖς, καὶ ἐπιπολὺ ἀπορεῖς; τὴν Ἰκαρίου λέγω Πηνελόπην. Ερ. εἶτα τί παθοῦσα ἐκείνη ἀντ' ἐμοῦ τράγῳ σε ὅμοιον ἔτεκεν; Πάν. αὐτῆς ἐκείνης λόγον σοι ἐρῶ. ὅτε γάρ με ἐξέπεμπεν ἐπὶ τὴν Ἀρκαδίαν, ὦ παῖ, μήτηρ μέν σοι ἔφη ἐγώ εἰμι Πηνελόπη ἡ σπαρτιᾶτις, τὸν πατέρα δὲ γίνωσκε θεὸν ἔχων Ἑρμῆν τὸν Μαίας καὶ Διός. εἰ δὲ κερασφόρος καὶ τραγοσκελὴς εἶ, μὴ λυπείτω σε. ὁπότε γάρ μοι συνῄει ὁ πατὴρ ὁ σὸς, τράγῳ ἑαυτὸν ἀπείκασεν ὡς λάθοι. καὶ διὰ τοῦτο ὅμοιος ἀπέ-

ἔχεις τοῦ τράγου. Ερ. νὴ Δία μέμνημαι ποιήσας τι
τοιοῦτον. ἐγὼ οὖν ὁ ἐπὶ κάλλει μέγα φρονῶν, ἔτι
ἀγένειος αὐτὸς ὤν, σὸς πατὴρ κεκλήσομαι, καὶ
γέλωτα ὀφλήσω παρὰ πᾶσιν ἐπὶ τῇ εὐπαιδίᾳ.
Παν. καὶ μὴν οὐ καταισχυνῶ σε ὦ πάτερ. μουσικός
τε γάρ εἰμι, καὶ συρίζω πάνυ καπυρόν, καὶ ὁ Διόνυ
σος οὐδὲν ἐμοῦ ἄνευ ποιεῖν δύναται, ἀλλὰ ἑταῖ-
ρον καὶ θιασώτην πεποίηκέ με, καὶ ἡγοῦμαι αὐτῷ
τοῦ χοροῦ. καὶ τὰ ποίμνια δὲ εἰ θεάσαιό μου ὁπόσα
περὶ Τεγέαν καὶ ἀνὰ τὸ Παρθένιον ἔχω, πάνυ ἡσθή-
σῃ. ἄρχω δὲ καὶ τῆς Ἀρκαδίας ἁπάσης. πρῴην δὲ
καὶ Ἀθηναίοις συμμαχήσας, οὕτως ἠρίστευσα ἐν Μα
ραθῶνι, ὥστε καὶ ἀριστεῖον ᾑρέθη μοι, τὸ ὑπὸ τῇ ἀ-
κροπόλει σπήλαιον. ἢν γοῦν εἰς Ἀθήνας ἔλθῃς, εἴ-
σῃ ὅσον ἐκεῖ τοῦ Πανὸς ὄνομα. Ερ. εἰπὲ δέ μοι, γε-
γάμηκας ὦ Πὰν ἤδη; τοῦτο γὰρ οἶμαι καλοῦσί σε.
Παν. οὐδαμῶς ὦ πάτερ. ἐρωτικὸς γάρ εἰμι, καὶ
οὐκ ἂν ἀγαπήσαιμι συνὼν μιᾷ. Ερ. ταῖς οὖν αἰξὶ
δηλαδὴ ἐπιβαίνεις. Παν. σὺ μὲν σκώπτεις. ἐγὼ
δὲ, τῇ τε Ἠχοῖ, καὶ τῇ Πίτυϊ σύνειμι, καὶ ἁπάσαις
ταῖς τοῦ Διονύσου Μαινάσι. καὶ πάνυ σπουδάζο-
μαι πρὸς αὐτῶν. Ερ. οἶσθα οὖν ὅ, τι χαρίσῃ ὦ τέκ-
νον τὰ πρῶτα αἰτοῦντί μοι; Παν. πρόσταττε ὦ πά-
τερ, ὑμεῖς δὲ ἴδωμεν ταῦτα. Ερ. καὶ πρόσιθί μοι,
καὶ φιλοφρονοῦ, πατέρα δὲ ὅρα μὴ καλέσῃς με, ἀ-
κούοντός γε τινός.

## ΑΠΟΛΛΩΝΟΣ ΚΑΙ ΔΙΟΝΥΣΟΥ.

Τι ἂν λέγοιμεν ὁμομητρίους ὦ Διόνυσε ἀδελφοὺς εἶναι, Ἔρωτα καὶ Ἑρμαφρόδιτον, καὶ Πρίαπον, ἀνομοίους ὄντας τὰς μορφὰς, καὶ τὰ ἐπιτηδεύματα; ὁ μὲν γὰρ πάγκαλος, καὶ τοξότης, καὶ δύναμιν οὐ μικρὰν περιβεβλημένος, ἁπάντων ἄρχων. ὁ δὲ θῆλυς, καὶ ἡμίανδρος, καὶ ἀμφίβολος τὴν ὄψιν. οὐκ ἂν διακρίναις εἴτ' ἔφηβός ἐστιν, εἴ τε καὶ παρθένος. ὁ δὲ, καὶ πέρα τοῦ εὐπρεποῦς ἀνδρικὸς ὁ Πρίαπος. Διό. μηδὲν θαυμάσῃς ὦ Ἄπολλον. οὐ γὰρ ἡ Ἀφροδίτη αἰτία τούτου, ἀλλὰ οἱ πατέρες, διάφοροι γεγενημένοι. ὅπου γε καὶ ὁμοπάτριοι πολλάκις ἐκ μιᾶς γαστρὸς, ὁ μὲν ἄρσην, ἡ δὲ θήλεια, ὥσπερ ὑμεῖς, γίνονται. Απο. ναί. ἀλλ' ἡμεῖς ὅμοιοι ἐσμὲν, καὶ τὰ αὐτὰ ἐπιτηδεύομεν. τοξόται γὰρ ἄμφω. Διό. μέχρι μὲν τόξου, τὰ αὐτὰ ὦ Ἄπολλον. ἐκεῖνα δὲ, οὐχ ὅμοια. ὅτι ἡ μὲν Ἄρτεμις, ξενοκτονεῖ ἐν Σκύθαις, σὺ δὲ μαντεύῃ, καὶ ἰᾷ τοὺς κάμνοντας. Απο. οἴει γὰρ τὴν ἀδελφὴν χαίρειν τοῖς Σκύθαις, ἥ γε καὶ παρεσκεύασαι, ἤν τις Ἕλλην ἀφίκηταί ποτε εἰς τὴν ταυρικὴν, συνεκπλεῦσαι μετ' αὐτοῦ, μυσαττομένη τὰς σφαγάς; Διό. εὖ γε ἐκείνη ποιοῦσα. ὁ μὲν γάρ τοι Πρίαπος, γελοῖον γάρ τι σοι διηγήσομαι, πρῴην ἐν Λαμψάκῳ γενόμενος, ἐγὼ μὲν παρῄειν τὴν πόλιν. ὁ δὲ ὑποδεξά-

μενός

μένος με, καὶ ξενίσας παρ' αὐτῷ, ἐπειδὴ ἀνεπαυσάμεθα ἐν τῷ συμποσίῳ ἱκανῶς ὑποβεβρεγμένοι, κατ' αὐτάς που μέσας νύκτας ἐπαναστὰς ὁ γενναῖος, αἰδοῦμαι δὲ λέγειν. Απο. ἐπείρα σε; Διό. τοιοῦτόν ἐστι. Απο. σὺ δὲ τί πρὸς ταῦτα; Διό. τί γὰρ ἄλλο, ἢ ἐγέλασα; Απο. εὖγε, τὸ μὴ χαλεπῶς, μηδὲ ἀγρίως. συγγνωστὸς γάρ, εἰ καλόν σε οὕτως ὄντα ἐπείρα. Διό. τούτου μὲν οὖν ἕνεκα καὶ ἐπὶ σὲ ἂν ὦ Ἄπολλον ἀγάγοι τὴν πεῖραν. καλὸς γὰρ σύ, καὶ κομήτης, ὡς καὶ νήφοντα ἄν σοι τὸν Πρίαπον ἐπιχειρῆσαι. Απο. ἀλλ' οὐκ ἐπιχειρήσει γε ὦ Διόνυσε. ἔχω γὰρ μετὰ τῆς κόμης καὶ τόξα.

## ΕΡΜΟΥ ΚΑΙ ΜΑΙΑΣ.

Ἔστι γάρ τις ὦ μῆτερ ἐν οὐρανῷ θεὸς ἀθλιώτερος ἐμοῦ; Μαι. μὴ λέγε ὦ Ἑρμῆ τοιοῦτον μηδέν. Ερ. τί μὴ λέγω, ὃς τοσαῦτα πράγματα ἔχω μόνος κάμνων, καὶ πρὸς τοσαύτας ὑπηρεσίας διασπώμενος; ἕωθεν μὲν γὰρ ἐξαναστάντα, σαίρειν τὸ συμπόσιον δεῖ. καὶ διαστρώσαντα τὴν ἐκκλησίαν, εἶτα εὐθετήσαντα ἕκαστα, παρεστάναι τῷ Διί, καὶ διαφέρειν τὰς ἀγγελίας τὰς παρ' αὐτοῦ ἄνω καὶ κάτω ἡμεροδρομοῦντα. καὶ ἐπανελθόντα ἔτι κεκονιμένον, παραθεῖναι τὴν ἀμβροσίαν. πρὶν δὲ τὸν νεώνητον τοῦτον οἰνοχόον ἥκειν, καὶ τὸ νέκταρ ἐγὼ ἐνέχεον. τὸ δὲ πάντων δεινότατον, ὅτι μηδὲ νυκτὸς καθεύδω μόνος

τῶν ἄλλων, ἀλλὰ δεῖ με καὶ τότε τῷ Πλούτωνι ψυχαγωγεῖν, καὶ νεκροπομπὸν εἶναι, καὶ παρεστάναι τῷ δικαστηρίῳ. οὐ γὰρ ἱκανά μοι τὰ τῆς ἡμέρας ἔργα, ἐν παλαίστραις εἶναι, κἂν ταῖς ἐκκλησίαις κηρύττειν, καὶ ῥήτορας ἐκδιδάσκειν, ἀλλ' ἔτι καὶ νεκρικὰ συνδιαπράττειν μεμερισμένον. καίτοι τὰ μὲν τῆς Λήδας τέκνα, παρ' ἡμέραν ἑκάτερος ἐν οὐρανῷ καὶ ἐν ᾅδου εἰσίν. ἐμοὶ δέ, καθ' ἑκάστην ἡμέραν καὶ ταῦτα κἀκεῖνα ποιεῖν ἀναγκαῖον. καὶ ὁ μὲν Ἀλκμήνης καὶ Σεμέλης υἱός, ἐκ γυναικῶν δυστήνων γενόμενοι, εὐωχοῦνται ἀφρόντιδες. ὁ δὲ Μαίας τῆς Ἀτλαντος, διακονοῦμαι αὐτοῖς. καὶ νῦν ἄρτι ἥκοντά με ἀπὸ Σιδῶνος παρὰ τῆς Κάδμου θυγατρός, ἐφ' ἣν πέπομφέ με ὀψόμενον ὅ, τι πράττει ἡ παῖς, μὴ δὲ ἀναπνεύσαντα, πέπομφεν αὖθις εἰς τὸ Ἄργος ἐπισκεψόμενον τὴν Δανάην. εἶτ' ἐκεῖθεν, εἰς Βοιωτίαν φησὶν ἐλθών, ἐν παρόδῳ τὴν Ἀντιόπην ἰδέ. καὶ ὅλως, ἀπηγόρευκα ἤδη. εἰ γοῦν μοι δυνατὸν ἦν, ἡδέως ἂν ἠξίωσα πεπρᾶσθαι, ὥσπερ οἱ ἐν γῇ κακῶς δουλεύοντες. Μαι. ἔα ταῦτα ὦ τέκνον. χρὴ γὰρ πάντα ὑπηρετεῖν τῷ πατρί, νεανίαν ὄντα. καὶ νῦν ὥσπερ ἐπέμφθης, σόβει εἰς Ἄργος. εἶτα ἐς τὴν Βοιωτίαν, μὴ καὶ πληγὰς βραδύνων λάβοις. ὀξύχολοι γὰρ οἱ ἐρῶντες.

# ΕΝΑΛΙΟΙ ΔΙΑΛΟΓΟΙ.

## ΔΩΡΙΔΟΣ ΚΑΙ ΓΑΛΑΤΕΙΑΣ.

Καλὸν ἐραστὴν ὦ Γαλάτεια φασὶ τὸν σικελὸν τοῦτον ποιμένα ἐπιμεμηνέναι σοι. Γα. μὴ σκῶπτε Δωρί. Ποσειδῶνος γὰρ υἱός ἐστιν, ὁποῖος ἂν ᾖ. Δω. τί οὖν, εἰ καὶ τοῦ Διὸς αὐτοῦ παῖς ὤν, ἄγριος οὕτω καὶ λάσιος ἐφαίνετο, καὶ τὸ πάντων ἀμορφότατον, μονόφθαλμος. οἴει τὸ γένος ὀνῆσαι ἄν τι αὐτὸν πρὸς τὴν μορφήν; Γα. οὐδὲ τὸ λάσιον αὐτοῦ, καὶ ὡς φὴς ἄγριον, ἄμορφόν ἐστιν. ἀνδρῶδες γάρ. ὅ, τε ὀφθαλμὸς ἐπιπρέπει τῷ μετώπῳ, οὐδὲν ἐνδεέστερον ὁρῶν, ἢ εἰ δύ' ἦσαν. Δω. ἔοικας ὦ Γαλάτεια οὐκ ἐραστὴν, ἀλλ' ἐρώμενον ἔχειν τὸν Πολύφημον, οἷα ἐπαινεῖς αὐτόν. Γα. οὐκ ἐρώμενον, ἀλλὰ τὸ πάνυ ὀνειδιστικὸν τοῦτο οὐ φέρω ὑμῶν. καί μοι δοκεῖτε ὑπὸ φθόνου αὐτὸ ποιεῖν. ὅτι ποιμαίνων ποτὲ, ἀπὸ τῆς σκοπιᾶς παιζούσας ἡμᾶς ἰδὼν ἐπὶ τῆς ἠιόνος, ἐν τοῖς πρόποσι τῆς Αἴτνης, καθὸ μεταξὺ τοῦ ὄρους καὶ τῆς θαλάττης αἰγιαλὸς ἀπομηκύνεται, ὑμᾶς μὲν οὐδὲ προσέβλεψεν, ἐγὼ δ' ἐξ ἁπασῶν ἡ καλλίστη ἔδοξα, καὶ μόνῃ ἐμοὶ ἐπεῖχε τὸν ὀφθαλμόν. ταῦτα ὑμᾶς ἀνιᾷ. δεῖγμα γὰρ ὡς ἀμείνων εἰμὶ, καὶ ἀξιέραστος. ὑμεῖς δὲ, παρώφθητε. Δω. εἰ ποιμένι καὶ ἐνδεεῖ καλὴ τὴν ὄψιν ἔδοξας, ἐπίφθονος οἴει γεγονέναι; καί τοι τί ἄλλο ἐν σοὶ ἐπαινέσαι εἶχεν,

ἢ τὸ λευκὸν μόνον. καὶ τοῦτο οἶμαι, ὅτι συνήθης ἐστὶ τυρῷ καὶ γάλακτι. πάντα οὖν τὰ ὅμοια τούτοις ἡγεῖται καλά. ἐπεὶ τά γε ἄλλα ὁπότ' ἂν ἐθελήσῃς μαθεῖν οἵα τυγχάνεις οὖσα τὴν ὄψιν, ἀπὸ πέτρας τινὸς εἴ ποτε γαλήνη εἴη, ἐπικύψασα ἐς τὸ ὕδωρ, ἴδε σεαυτὴν, οὐδὲν ἄλλο ἢ χρόαν λευκὴν ἀκριβῶς. οὐκ ἐπαινεῖται δὲ τοῦτο, ἢν μὴ ἐπιπρέπῃ αὐτῷ καὶ τὸ ἐρύθημα. Γα. καὶ μὴν ἐγὼ μὲν ἡ ἀκράτως λευκὴ, ὅμως ἐραστὴν καὶ τοῦτον ἔχω. ὑμῶν δὲ οὐκ ἔστιν ἥν τινα, ἢ ποιμὴν, ἢ ναύτης, ἢ πορθμεὺς ἐπαινεῖ. ὁ δὲ Πολύφημος, τά τε ἄλλα, καὶ μουσικός ἐστι. Δω. σιώπα ὦ Γαλάτεια, ἠκούσαμεν αὐτοῦ ᾄδοντος, ὁπότε ἐκώμασε πρῴην ἐπὶ σέ. Ἀφροδίτη φίλη, ὄνον ἄν τις ὀγκᾶσθαι ἔδοξε. καὶ αὐτὴ δὲ ἡ πηκτὶς, οἷα κρανίον ἐλάφου γυμνὸν τῶν σαρκῶν, καὶ τὰ μὲν κέρατα, πήχεις ὥσπερ ἦσαν. ζυγώσας δὲ αὐτὰ, καὶ ἐνάψας τὰ νεῦρα, οὐδὲ κόλλοπι περιστρέψας, ἐμελῴδει ἄμουσόν τι, καὶ ἀπῳδὸν, ἄλλο μὲν αὐτὸς βοῶν, ἄλλο δὲ ἡ λύρα ὑπήχει. ὥστε οὐδὲ κατέχειν τὸν γέλωτα ἐδυνάμεθα, ἐπὶ τῷ ἐρωτικῷ ἐκείνῳ ᾄσματι. ἡ μὲν γὰρ ἠχὼ, οὐδ' ἀποκρίνεσθαι αὐτῷ ἤθελεν, οὕτω λάλος οὖσα βρυχωμένῳ. ἀλλ' ᾐσχύνετο, εἰ φανείη μιμουμένη τραχεῖαν ᾠδὴν, καὶ καταγέλαστον. ἔφερε δὲ ὁ ἐπέραστος ἐν ταῖς ἀγκάλαις ἀθυρμάτιον, ἄρκτου σκύλακα, καὶ τὸ λάσιον αὐτῷ προσεοικότα. τίς

οὐκ

οὐκ ἂν φθονήσειέ σοι ὦ Γαλάτεια, τοιούτου ἐραστοῦ.

Γαλα. οὐκοῦν σὺ Δωρί, δεῖξον ἡμῖν τὸν σεαυτῆς, καλλίω δηλονότι ὄντα, καὶ ᾠδικώτερον, καὶ κιθαρίζειν ἄμεινον ἐπιστάμενον. Δω. ἀλλ' ἐραστὴς μὲν οὐδείς ἐστι μοι, οὐδὲ σεμνύνομαι ἐπέραστος εἶναι. τοιοῦτος δέ, οἷος ὁ Κύκλωψ ἐστί, κινάβρας ἀπόζων ὥσπερ ὁ τράγος, ὠμοφάγος ὥς φασι, καὶ σιτούμενος τοὺς ἐπιδημοῦντας τῶν ξένων, σοὶ γένοιτο, καὶ σὺ ἀντερῴης αὐτοῦ.

## ΚΥΚΛΩΠΟΣ ΚΑΙ ΠΟΣΕΙΔΩΝΟΣ.

Ὦ πάτερ, οἷα πέπονθα ὑπὸ τοῦ καταράτου ξένου, ὃς μεθύσας ἐξετύφλωσέ με, κοιμωμένῳ ἐπιχειρήσας. Πο. τίς δὲ ὁ ταῦτα τολμήσας ὦ Πολύφημε; Κυ. τὸ μὲν πρῶτον Οὖτιν ἑαυτὸν ἀπεκάλει. ἐπεὶ δὲ διέφυγε, καὶ ἔξω ἦν βέλους, Ὀδυσσεὺς ὀνομάζεσθαι ἔφη. Πο. οἶδα ὃν λέγεις. τὸν Ἰθακήσιον, ἐξ Ἰλίου δ' ἀνέπλει. ἀλλὰ πῶς ταῦτ' ἔπραξεν, οὐδὲ πάνυ εὐθαρσὴς ὤν; Κυ. κατέλαβον ἐν τῷ ἄντρῳ ἀπὸ τῆς νομῆς ἀναστρέψας, πολλούς τινας ἐπιβουλεύοντας δηλονότι τοῖς ποιμνίοις. ἐπεὶ δὲ ἔθηκα τῇ θύρᾳ τὸ πῶμα, πέτρα ἥ ἐστι μοι παμμεγέθης, καὶ τὸ πῦρ ἀνέκαυσα ἐναυσάμενος ὃ ἔφερον δένδρον ἀπὸ τοῦ ὄρους, ἐφάνησαν ἀποκρύπτειν αὑτοὺς πειρώμενοι. ἐγὼ δὲ συλλαβὼν αὐτῶν τινας, ὥσπερ εἰκὸς ἦν, κατέφαγον λῃστὰς ὄντας. ἐνταῦθα ὁ πανουργότατος ἐκεῖνος,

εἴτε Οὖτις, εἴτε Ὀδυσσεὺς ἦν, δίδωσί μοι πιεῖν
φάρμακόν τι ἐγχέας, ἡδὺ μὲν, καὶ εὔοσμον, ἐπι-
βουλότατον δὲ, καὶ ταραχωδέστατον. ἅπαντα
γὰρ εὐθὺς ἐδόκει μοι περιφέρεσθαι πιόντι. καὶ τὸ
σπήλαιον αὐτὸ ἀνεστρέφετο. καὶ οὐκ ἔτι ὅλως ἐν
ἐμαυτῷ ἤμην. τέλος δὲ, ἐς ὕπνον κατεσπά-
σθην. ὁ δὲ, ἀποξύνας τὸν μοχλὸν, καὶ πυρώσας γε
προσέτι ἐτύφλωσέ με καθεύδοντα. καὶ ἀπ' ἐκεί-
νου τυφλός εἰμί σοι ὦ Πόσειδον. Πο. ὡς βαθὺν ἐ-
κοιμήθης ὦ τέκνον. ὃς οὐκ ἐξέθορες μεταξὺ τυ-
φλούμενος. ὁ δ' οὖν Ὀδυσσεὺς πῶς διέφυγεν;
οὐ γὰρ ἂν εὖ οἶδ' ὅτι ἐδυνήθη ἀποκινῆσαι τὴν πέ-
τραν ἀπὸ τῆς θύρας. Κύ. ἀλλ' ἐγὼ ἀφεῖλον, ὡς
μᾶλλον αὐτὸν λάβοιμι ἐξιόντα. καὶ καθίσας παρὰ
τὴν θύραν, ἐθήρων τὰς χεῖρας ἐκπετάσας, μόνα
παρεὶς τὰ πρόβατα ἐς τὴν νομὴν, ἐντειλάμενος
τῷ κριῷ, ὁπόσα ἐχρῆν πράττειν αὐτὸν ὑπὲρ ἐμοῦ.
Πο. μανθάνω ὑπ' ἐκείνοις, ὅτι γε ἔλαθεν ὑπεξελ-
θών σε. ἀλλὰ σὲ τοὺς ἄλλους γε Κύκλωπας ἔδει ἐπι-
βοήσασθαι ἐπ' αὐτόν. Κύ. συνεκάλεσα ὦ πά-
τερ, καὶ ἧκον. ἐπεὶ δὲ ἤροντο τοῦ ἐπιβουλεύοντος
τὸ ὄνομα, κἀγὼ ἔφην ὅτι Οὖτις ἐστὶ, μελαγχολᾶν
οἰηθέντες με, ᾤχοντο ἀπιόντες. οὕτω κατεσοφί-
σατό με ὁ κατάρατος τῷ ὀνόματι. καὶ ὃ μάλι-
στα ἠνίασέ με, ὅτι καὶ ὀνειδίζων ἐμοὶ τὴν συμφο-
ράν, οὐδ' ὁ πατήρ φησιν ὁ Ποσειδῶν ἰάσεταί

σε.

στε. Πο. Θάρσει ὦ τέκνον. ἀμυνοῦμαι γὰρ αὐτόν, ὡς μάθῃ, ὅτι εἰ καὶ πήρωσίν μοι ὀφθαλμῶν ἰᾶσθαι ἀδύνατον, τὰ γοῦν τῶν πλεόντων τὸ σώζειν αὐτοὺς, καὶ ἀπολλύναι, ἐπ' ἐμοὶ πρόσεστι. πλεῖ δὲ ἔτι.

## ΑΛΦΕΙΟΥ ΚΑΙ ΠΟΣΕΙΔΩΝΟΣ.

Τι τοῦτο ὦ Αλφειέ; μόνος τῶν ἄλλων ἐμπεσὼν εἰς τὸ πέλαγος, οὔτε ἀναμίγνυσαι τῇ ἅλμῃ ὡς ἔθος ποταμοῖς ἅπασιν, οὔτε ἀναπαύεις σεαυτὸν διαχυθεὶς, ἀλλὰ διὰ τῆς θαλάττης ξυνεστὼς, καὶ γλυκὺ φυλάττων τὸ ῥεῖθρον, ἀμιγὴς ἔτι καὶ καθαρὸς ἐπείγῃ. οὐκ οἶδ' ὅποι βύθιος ὑποδὺς, καθάπερ οἱ λάροι καὶ ἐρωδιοὶ, καὶ ἔοικας ἀνακύψειν που, καὶ αὖθις ἀναφαίνειν σεαυτόν.

Αλ. ἐρωτικόν τι τὸ πρᾶγμά ἐστιν ὦ Πόσειδον. ὥστε μὴ ἔλεγχε. ἠράσθης δὲ καὶ αὐτὸς πολλάκις. Πο. γυναικὸς ὦ Αλφειὲ, ἢ νύμφης ἐρᾷς, ἢ καὶ τῶν Νηρηίδων αὐτῶν μιᾶς; Αλ. οὐκ. ἀλλὰ πηγῆς ὦ Πόσειδον. Πο. ἡ δὲ, ποῦ σοι γῆς αὕτη ῥεῖ; Αλ. νησιῶτίς ἐστι σικελική. Αρέθουσαν αὐτὴν καλοῦσιν.

Πο. οἶδα οὐκ ἄμορφον ὦ Αλφειὲ τὴν Αρέθουσαν, ἀλλὰ διαυγής τέ ἐστι, καὶ διὰ καθαροῦ ἀναβλύζει, καὶ τὸ ὕδωρ ἐπιπρέπει ταῖς ψηφῖσιν, ὅλον ὑπὲρ αὐτῶν φαινόμενον ἀργυροειδές. Αλ. ὡς ἀληθῶς οἶσθα τὴν πηγὴν ὦ Πόσειδον. παρ' ἐκείνην οὖν ἀπέρχομαι. Πο. ἀλλ' ἄπιθι μὲν, καὶ εὐτύχει ἐν τῷ ἔρωτι. ἐκεῖνο δέ μοι εἰπὲ, ποῦ τὴν Αρέθουσαν εἶδες,

αὐτὸς μὲν ἀρκὰς ὤν, ἡ δὲ ἐν Συρακούσαις ἐστίν.

Αλ. ἐπειγόμενόν με κατέχεις ὦ Πόσειδον, περίεργα ἐρωτῶν. Πο. εὖ λέγεις. χώρει παρὰ τὴν ἀγαπωμένην, καὶ ἀναδὺς ἀπὸ τῆς θαλάττης, ξυναυλίᾳ μίγνυσο τῇ πηγῇ, καὶ ἐν ὕδωρ γίνεσθε.

## ΜΕΝΕΛΑΟΥ ΚΑΙ ΠΡΩΤΕΩΣ.

Αλλὰ ὕδωρ μέν σε γίνεσθαι ὦ Πρωτεῦ, οὐκ ἀπίθανον, ἐνάλιόν γε ὄντα, καὶ δένδρον ἔτι φορητόν. καὶ εἰς λέοντα ὁπότε ἀλλαγείης, ὅμως οὐδὲ τοῦτο ἔξω πίστεως. εἰ δὲ καὶ πῦρ γίνεσθαι δυνατὸν ἐν τῇ θαλάττῃ οἰκοῦντα, τοῦτο πάνυ θαυμάζω, καὶ ἀπιστῶ. Πρω. μὴ θαυμάσῃς ὦ Μενέλαε. γίγνομαι γάρ. Με. εἶδον καὶ αὐτός. ἀλλά μοι δοκεῖς, εἰρήσεται γὰρ πρὸς σέ, γοητείαν τινὰ προσάγειν τῷ πράγματι, καὶ τοὺς ὀφθαλμοὺς ἐξαπατᾶν τῶν ὁρώντων, αὐτὸς οὐδὲν τοιοῦτο γιγνόμενος. Πρω. καὶ τίς ἂν ἡ ἀπάτη ἐπὶ τῶν οὕτως ἐναργῶν γένοιτο; οὐκ ἀνεῳγμένοις τοῖς ὀφθαλμοῖς εἶδες, εἰς ὅσα μετεποίησα ἐμαυτόν; εἰ δὲ ἀπιστεῖς, καὶ τὸ πρᾶγμα ψευδὲς εἶναι δοκεῖ, φαντασία τις πρὸ τῶν ὀφθαλμῶν ἱσταμένη, ἐπειδὰν πῦρ γένωμαι, προσένεγκαί μοι ὦ γενναιότατε τὴν χεῖρα. εἴσῃ γὰρ εἰ ὁρῶμαι μόνον, ἢ καὶ τὸ καίειν τότε μοι πρόσεστιν. Με. οὐκ ἀσφαλὴς ἡ πεῖρα ὦ Πρωτεῦ.

Πρω. σὺ δέ μοι Μενέλαε δοκεῖς οὐδὲ πολύπουν ἑωρακέναι πώποτε, οὐδ᾽ ὃ πάσχει ὁ ἰχθὺς οὗτος εἰδέναι.

εἰδέναι. Με. ἀλλὰ τὸν μὲν πολύπουν εἶδον. ἃ πάσχει δὲ, ἡδέως ἂν μάθοιμι παρὰ σοῦ. Πρω. ὁποίᾳ ἂν πέτρᾳ προσελθὼν ἁρμόσῃ τὰς κοτύλας, καὶ προσφὺς ἔχηται κατὰ τὰς πλεκτάνας, ἐκείνῃ ὅμοιον ἀπεργάζεται ἑαυτὸν, καὶ μεταβάλλει τὴν χρόαν, μιμούμενος τὴν πέτραν, ὡς ἂν λάθῃ τοὺς ἁλιέας, μὴ διαλλάττων, μηδὲ φανερὸς ὢν διατοῦτο, ἀλλ' ἐοικὼς τῷ λίθῳ. Με. φασὶ ταῦτα. τὸ δὲ σὸν πολλῷ παραδοξότερον ὦ πρωτεῦ.

Πρω. οὐκ οἶδα ὦ Μενέλαε. τίνι ἂν ἄλλῳ πιστεύσειας, τοῖς σεαυτοῦ ὀφθαλμοῖς ἀπιστῶν; Με. ἰδὼν, εἶδον. ἀλλὰ τὸ πρᾶγμα τεράστιον, τὸν αὐτὸν πῦρ καὶ ὕδωρ γίγνεσθαι.

## ΠΑΝΟΠΗΣ ΚΑΙ ΓΑΛΗΝΗΣ.

Εἶδες ὦ Γαλήνη χθὲς οἷα ἐποίησεν ἡ Ἔρις παρὰ τὸ δεῖπνον ἐν Θετταλίᾳ, διότι μὴ καὶ αὐτὴ ἐκλήθη εἰς τὸ συμπόσιον; Γα. οὐ ξυνειστιώμην ὑμῖν ἔγωγε. ὁ γὰρ Ποσειδῶν ἐκέλευσέ με ὦ Πανόπη, ἀκύμαντον ἐν τοσούτῳ φυλάττειν τὸ πέλαγος. τί δ' οὖν ἐποίησεν ἡ Ἔρις μὴ παροῦσα; Πα. ἡ Θέτις καὶ ὁ Πηλεὺς ἀπεληλύθεισαν εἰς τὸν θάλαμον, ὑπὸ τῆς Ἀμφιτρίτης καὶ τοῦ Ποσειδῶνος παραπεμφθέντες. ἡ Ἔρις δ' ἐν τοσούτῳ λαθοῦσα πάντας, ἐδυνήθη δὲ ῥᾳδίως, τῶν μὲν πινόντων, ἐνίων δὲ κροτούντων, ἢ τῷ Ἀπόλλωνι κιθαρίζοντι, ἢ ταῖς μούσαις ᾀδούσαις προσεχόντων

τῆς νοῶν, ἐνέβαλεν εἰς τὸ συμπόσιον μῆλόν τι πάγ-
καλον, χρυσοῦν ὅλον ὦ Γαλήνη. ἐπεγέγραπτο δὲ,
ἡ καλὴ λαβέτω. κυλινδούμενον δὲ τοῦτο ὥσπερ
ἐξεπίτηδες, ἧκεν ἔνθα Ἥρα τε, καὶ Ἀφροδίτη, καὶ
Ἀθηνᾶ κατεκλίνοντο. κἀπειδὴ ὁ Ἑρμῆς ἀνελόμε-
νος ἐπελέξατο τὰ γεγραμμένα, αἱ μὲν Νηρηΐδες
ἡμεῖς, ἀπεσιωπήσαμεν. τί γὰρ ἔδει ποιεῖν, ἐκεί-
νων παρουσῶν; αἱ δὲ, ἀντεποιοῦντο ἑκάστη, καὶ αὑ-
τῆς εἶναι τὸ μῆλον ἠξίουν. καὶ εἰ μή γε ὁ Ζεὺς διέ-
στησεν αὐτὰς, καὶ ἄχρι χειρῶν προὐχώρησε τὸ πρᾶ-
γμα. ἀλλ' ἐκεῖνος αὐτὸς μὲν, οὐ κρινῶ φησι περὶ
τούτου, καίτοι ἐκεῖναι αὐτὸν δικάσαι ἠξίουν. ἄ-
πιτε δὲ εἰς τὴν Ἴδην παρὰ τὸν Πριάμου παῖδα,
ὃς οἶδέ τε διαγνῶναι τὴν καλλίονα φιλόκαλος
ὢν, καὶ οὐκ ἂν ἐκεῖνος κρίναι κακῶς. Γα. τί οὖν
αἱ θεαὶ ὦ Πανόπη; Πα. τήμερον οἶμαι ἀπίασι
πρὸς τὴν Ἴδην. Γα. καί τις ἥξει μετὰ μικρὸν ἀ-
παγγέλλων ἡμῖν τὴν κρατοῦσαν. Πα. ἤδη σοι φη-
μὶ οὐκ ἄλλη κρατήσει, τῆς Ἀφροδίτης ἀγωνιζομέ-
νης, ἢν μή τι πάνυ ὁ διαιτητὴς ἀμβλυώττῃ.

## ΤΡΙΤΩΝΟΣ, ΑΜΥΜΩΝΗΣ, ΚΑΙ ΠΟΣΕΙΔΩΝΟΣ. ΤΡΙΤ.

Ἐπὶ τὴν Λέρναν ὦ Πόσειδον παραγίγνεται
καθ' ἑκάστην ἡμέραν ὑδρευσομένη παρθέ-
νος, πάγκαλόν τι χρῆμα, οὐκ οἶδα ἔγωγε καλλίω
παῖδα ἰδών. Πο. ἐλευθέραν τινὰ ὦ Τρίτων λέ-

γεις,

γεις, ἢ θεράπαινά τις ὑδροφόρος ἐστίν. Τρι. οὐ-
μὲν οὖν ἀλλὰ τοῦ Δαναοῦ ἐκείνου θυγάτηρ, μία τῶν
πεντήκοντα καὶ αὐτή, Αμυμώνη τοὔνομα. ἐπυ-
θόμην γὰρ ἥτις καλοῖτο, καὶ τὸ γένος. ὁ Δαναὸς
δὲ σκληραγωγεῖ τὰς θυγατέρας, καὶ αὐτουργεῖν
διδάσκει, καὶ πέμπει ὕδωρ τε ἀρυσομένας, καὶ
πρὸς τὰ ἄλλα παιδεύει ἀόκνους εἶναι αὐτάς. Πο.
μόνη δὲ παραγίνεται μακρὰν οὕτω τὴν ὁδὸν ἐξ
Αργους εἰς Λέρναν; Τρι. μόνη. πολυδίψιον δὲ τὸ
Αργος, ὡς οἶσθα, ὥστε ἀνάγκη ἀεὶ ὑδροφορεῖν.
Πο. ὦ Τρίτων, οὐ μετρίως με διετάραξας, εἰπὼν
τὰ περὶ τῆς παιδός. ὥστε ἴωμεν ἐπ' αὐτήν. Τρι.
ἴωμεν. ἤδη γὰρ καιρὸς τῆς ὑδροφορίας. καὶ σχε-
δόν που κατὰ μέσην τὴν ὁδόν ἐστιν, ἰοῦσα εἰς τὴν
Λέρναν. Πο. οὐκοῦν ζεῦξον τὸ ἅρμα. ἢ τοῦτο μὲν
πολλὴν ἔχει τὴν διατριβὴν ὑπάγειν τοὺς ἵππους
τῇ ζεύγλῃ, καὶ τὸ ἅρμα ἐπισκευάζειν; σὺ δὲ ἀλλὰ
δελφῖνά μοι τινὰ τῶν ὠκέων παράστησον. ἀφιππά-
σομαι γὰρ ἐπ' αὐτοῦ τάχιστα. Τρι. ἰδού σοι οὑτο-
σὶ ὁ δελφίνων ὠκύτατος. Πο. εὖγε ἀπελαύ-
νωμεν. σὺ δὲ παρανήχου ὦ Τρίτων. κἀπειδὴ πά-
ρεσμεν εἰς τὴν Λέρναν, ἐγὼ μὲν λοχήσω ἐνταυ-
θοῖ που, σὺ δ' ἀποσκόπει ὁπότ' ἂν αἴσθῃ προσιοῦ-
σαν αὐτήν. Τρι. αὕτη σοι πλησίον. Πο. καλὴ ὦ
Τρίτων, καὶ ὡραία παρθένος. ἀλλὰ συλληπτέα ἡ-
μῖν ἐστίν. Αμυ. ἄνθρωπε, ποῖ με ξυναρπάσας

λέγεις; ἀνδραποδιστὴς εἶ, καὶ ἔοικας ἡμῖν ἀπ' Αἰγύπτου τοῦ θείου ὑποπεμφθῆναι. ὥστε βοήσομαι τὸν πατέρα. Τρι. σιώπησον ὦ Ἀμυμώνη. Ποσειδῶν ἐστί. Αμυ. τί Ποσειδῶν λέγεις; τί βιάζῃ με ὦ ἄνθρωπε, καὶ εἰς τὴν θάλατταν καθέλκεις; ἐγὼ δὲ ἀποπνιγήσομαι ἡ ἀθλία καταδῦσα. Πο. θάρρει, οὐδὲν δεινὸν πάθῃς, ἀλλὰ καὶ πηγὴν ἐπώνυμόν σοι ἀναδοθῆναι ἐάσω ἐνταῦθα, πατάξας τῇ τριαίνῃ τὴν πέτραν, πλησίον τοῦ κλύσματος. καὶ σὺ εὐδαίμων ἔσῃ, καὶ μόνη τῶν ἀδελφῶν οὐχ ὑδροφορήσεις ἀποθανοῦσα.

## ΝΟΤΟΥ ΚΑΙ ΖΕΦΥΡΟΥ.

Ταύτην ὦ Ζέφυρε τὴν δάμαλιν, ἣν διὰ τοῦ πελάγους εἰς Αἴγυπτον ὁ Ἑρμῆς ἄγει, ὁ Ζεὺς διεκόρησεν, ἁλοὺς ἔρωτι; Ζε. ναὶ ὦ Νότε. οὐ δάμαλις δὲ τότε, ἀλλὰ παῖς ἦν τοῦ ποταμοῦ Ἰνάχου. νῦν δὲ ἡ Ἥρα τοιαύτην ἐποίησεν αὐτὴν ζηλοτυπήσασα, ὅτι καὶ πάνυ ἑώρα ἐρῶντα τὸν Δία. Νο. νῦν οὖν ἔτι ἐρᾷ τῆς βοός; Ζε. καὶ μάλα. καὶ διὰ τοῦτο ἐς Αἴγυπτον αὐτὴν ἔπεμψε, καὶ ἡμῖν προσέταξε, μὴ κυμαίνειν τὴν θάλασσαν ἔστ' ἂν διανήξηται, ὡς ἀποτεκοῦσα ἐκεῖ. κύει δ' ἤδη. θεὸς γένοιτο καὶ αὐτὴ, καὶ τὸ τεχθέν. Νο. ἡ δάμαλις θεός; Ζε. καὶ μάλα ὦ Νότε. ἄρξει τε ὁ Ἑρμῆς ἔφη τῶν πλεόντων, καὶ ἡμῶν ἔσται δέσποινα, ὅν τινα ἂν ἡμῶν ἐθέλῃ ἐκπέμψαι, ἢ κωλῦσαι ἐπιπνεῖν.

ὑμνεῖν. Νο. θεράπαινα τοιγαροῦν ὦ Ζέφυρε, ἤδη δέσποινά γε οὖσα, νὴ Δία. δυναστεία γὰρ οὕτω γένοιτο. Ζε. ἀλλ' ἤδη γὰρ διεπέρασε, καὶ ἐξένευσεν ἐς τὴν γῆν. ὁρᾷς ὅπως οὐκέτι μὲν τετραποδιστὶ βαδίζει; ἀνορθώσας δ' αὐτὴν ὁ Ἑρμῆς, γυναῖκα παγκάλην αὖθις ἐποίησε; Νο. παράδοξα γοῦν ταῦτα ὦ Ζέφυρε. οὐκέτι τὰ κέρατα, οὐδὲ οὐρὰ, καὶ διχηλὰ τὰ σκέλη, ἀλλ' ἐπέραστος κόρη. ὁ μέν τοι Ἑρμῆς τί παθὼν, μεταβέβληκεν ἑαυτὸν, καὶ ἀντὶ νεανίου κυνοπρόσωπος γεγένηται. Ζε. μὴ πολυπραγμονῶμεν, ὅτι ἄμεινον ἐκεῖνος οἶδε τὰ πρακτέα.

## ΠΩΣΕΙΔΩΝΟΣ ΚΑΙ ΔΕΛΦΙΝΩΝ.

Εὖγε ὦ δελφῖνες, ὅτι ἀεὶ φιλάνθρωποί ἐστε, καὶ πάλαι μὲν τὸ τῆς Ἰνοῦς παιδίον ἐπὶ τὸν ἰσθμὸν ἐκομίσατε, ὑποδεξάμενοι ἀπὸ τῶν Σκιρωνίδων μετὰ τῆς μητρὸς ἐμπεσόν. καὶ νῦν σὺ τὸν κιθαρῳδὸν τοῦτον τὸν ἐκ Μηθύμνης ἀναλαβὼν, ἐξενήξω ἐς Ταίναρον αὐτῇ σκευῇ, καὶ κιθάρᾳ. οὐδὲ περιεῖδες, κακῶς ὑπὸ τῶν ναυτῶν ἀπολλύμενον. Δελφ. μὴ θαυμάσῃς ὦ Πόσειδον, εἰ τοὺς ἀνθρώπους εὖ ποιοῦμεν, ἐξ ἀνθρώπων γε καὶ αὐτοὶ ἰχθύες γενόμενοι. Πο. καὶ μέμφομαί γε τῷ Διονύσῳ, ὅτι ὑμᾶς καταναυμαχήσας μετέβαλε, δέον χειρώσασθαι μόνον, ὥσπερ τοὺς ἄλλους ὑπηγάγετο. ὅπως γοῦν τὰ κατὰ τὸν Ἀρίονα

τοῦτον ἐγνώκειν ὦ Δελφίν; ΔΕΛ. ὁ Περίανδρος οἶμαι ἔχαιρεν αὐτῷ. καὶ πολλάκις μετεπέμπετο αὐτὸν ἐπὶ τῇ τέχνῃ. ὁ δὲ, πλουτήσας παρὰ τοῦ τυράννου, ἐπεθύμησε πλεύσας οἴκαδε εἰς τὴν Μήθυμναν, ἐπιδείξασθαι τὸν πλοῦτον. καὶ ἐπιβὰς πορθμείου τινὸς κακούργων ἀνδρῶν, ὡς ἔδειξε πολὺν ἄγων χρυσὸν, καὶ ἄργυρον. ἐπεὶ κατὰ μέσον τὸ Αἰγαῖον ἐγένοντο, ἐπιβουλεύουσιν αὐτῷ οἱ ναῦται. ὁ δὲ, ἠκροώμην γὰρ ἅπαντα, παρανέων τῷ σκάφει, ἐπεὶ ταῦτα ὑμῖν δέδοκται ἔφη, ἀλλὰ τὴν σκευὴν ἀναλαβόντα με, καὶ ᾄσαντα θρῆνόν τινα ἐπ' ἐμαυτῷ, ἑκόντα ἐάσατε ῥίψαι ἐμαυτόν. ἐπέτρεψαν οἱ ναῦται. καὶ ἀνέλαβε τὴν σκευὴν, καὶ ᾖσε πάνυ λιγυρῶς, καὶ ἔπεσεν εἰς τὴν θάλατταν, ὡς αὐτίκα πάντως ἀποθανούμενος. ἐγὼ δὲ ὑπολαβὼν, καὶ ἀναθέμενος αὐτὸν, ἐξενηξάμην ἔχων εἰς Ταίναρον. ΠΟ. ἐπαινῶ τῆς φιλομουσίας. ἄξιον γὰρ τὸν μισθὸν ἀποδέδωκας αὐτῷ τῆς ἀκροάσεως.

## ΠΟΣΕΙΔΩΝΟΣ ΚΑΙ ΝΗΡΗΙΔΩΝ.

Τὸ μὲν στενὸν τοῦτο, ἔνθα ἡ παῖς κατηνέχθη, Ἑλλήσποντος ἀπ' αὐτῆς καλείσθω. τὸν δὲ νεκρὸν, ὑμεῖς ὦ Νηρηΐδες παραλαβοῦσαι, τῇ Τρῳάδι προσενέγκατε, ὡς ταφείη ὑπὸ τῶν ἐπιχωρίων. ΝΗ. μηδαμῶς ὦ Πόσειδον. ἀλλ' ἐνταῦθα ἐν τῷ ἐπωνύμῳ πελάγει τεθάφθω. ἐλεοῦμεν γὰρ αὐτὴν,

τὴν, οἰκτίστα ὑπὸ τῆς μητρυιᾶς πεπονθυῖαν. Πο. τοῦτο μὲν ὦ Ἀμφιτρίτη οὐ θέμις. οὐδ' ἄλλως καλὸν ἐνταῦθά που κεῖσθαι ὑπὸ τῇ ψάμμῳ αὐτήν, ἀλλ' ὅπερ ἔφην ἐν τῇ Τρῳάδι, ἐν τῇ Χερρονήσῳ τεθάψεται. ἐκεῖνο δὲ παραμύθιον ἔσται αὐτῇ, ὅτι μετ' ὀλίγον τὰ αὐτὰ καὶ ἡ Ἰνὼ πείσεται, καὶ ἐμπεσεῖται ὑπὸ τοῦ Ἀθάμαντος διωκομένη εἰς τὸ πέλαγος, ἀπ' ἄκρου τοῦ Κιθαιρῶνος, καθόπερ καθήκει ἐς τὴν θάλασσαν, ἔχουσα καὶ τὸν υἱὸν ἐπὶ τῆς ἀγκάλης. Νη. ἀλλὰ κἀκείνην σῶσαι δεήσει, χαρισάμενον τῷ Διονύσῳ. τροφὸς γὰρ αὐτοῦ καὶ τίτθη ἡ Ἰνώ. Πο. οὐκ ἐχρῆν οὕτω πονηρὰν οὖσαν. ἀλλὰ τῷ Διονύσῳ ἀχαριστεῖν ὦ Ἀμφιτρίτη, οὐκ ἄξιον. Νη. αὕτη δὲ ἄρα τί παθοῦσα κατέπεσεν ἀπὸ τοῦ κριοῦ; ὁ ἀδελφὸς δὲ ὁ Φρίξος ἀσφαλῶς ὀχεῖται; Πο. εἰκότως. νεανίας γὰρ, καὶ δύναται ἀντέχειν πρὸς τὴν φοράν. ἡ δὲ, ὑπὸ ἀηθείας ἐπιβᾶσα ὀχήματος παραδόξου, καὶ ἀπιδοῦσα ἐς βάθος ἀχανὲς, ἐκπλαγεῖσα, καὶ τῷ θάμβει ἅμα συσχεθεῖσα, καὶ ἰλιγγιάσασα πρὸς τὸ σφοδρὸν τῆς πτήσεως, ἀκρατὴς ἐγένετο τῶν κεράτων τοῦ κριοῦ, ὧν τέως ἀπείληπτο, καὶ κατέπεσεν ἐς τὸ πέλαγος. Νη. οὐκοῦν ἐχρῆν τὴν μητέρα τὴν Νεφέλην βοηθεῖν πιπτούσῃ; Πο. ἐχρῆν. ἀλλὰ ἡ μοῖρα πολλῷ τῆς Νεφέλης δυνατωτέρα.

ΙΡΙΔΟΣ

## ΙΡΙΔΟΣ ΚΑΙ ΠΟΣΕΙΔΩΝΟΣ.

Τὴν νῆσον τὴν πλανωμένην ὦ Πόσειδον, ἀποσπασθεῖσαν τῆς Σικελίας, ὕφαλον ἐπινήχεσθαι συμβέβηκε. ταύτην φησὶν ὁ Ζεὺς στῆσον ἤδη, καὶ ἀνάφηνον, καὶ ποίησον ἤδη δῆλον ἐν τῷ αἰγαίῳ μέσῳ βεβαίως μένειν, στηρίξας πάνυ ἀσφαλῶς. δεῖται γάρ τι αὐτῆς. Πο. πεπράξεται ταῦτα ὦ Ἶρι. τίνα δὲ ὅμως παρέξει αὐτῷ τὴν χρείαν ἀναφανεῖσα, καὶ μηκέτι πλέουσα; Ιρ. τὴν Λητὼ ἐπ' αὐτῆς δεῖ ἀποκυῆσαι. ἤδη γὰρ πονήρως ὑπὸ τῶν ὠδίνων ἔχει. Πο. τί οὖν; οὐχ ἱκανὸς ὁ οὐρανὸς ἐντεκεῖν; εἰ δὲ μὴ οὗτος, ἀλλά γε πᾶσα ἡ γῆ οὐκ ἂν ὑποδέξασθαι δύναιτο τὰς αὐτῆς γονάς; Ιρ. οὐκ ὦ Πόσειδον. ἡ Ἥρα γὰρ ὅρκῳ μεγάλῳ κατέλαβε τὴν γῆν, μὴ παρασχεῖν τῇ Λητοῖ τῶν ὠδίνων ὑποδοχήν. ἡ τοίνυν νῆσος αὕτη ἀνώμοτός ἐστιν. ἀφανὴς γὰρ ἦν. Πο. συνίημι. στῆθι ὦ νῆσε, καὶ ἀνάδυθι αὖθις ἐκ τοῦ βυθοῦ, καὶ μηκέτι ὑποφέρου, ἀλλὰ βεβαίως μένε, καὶ ὑπόδεξαι ὦ εὐδαιμονεστάτη τοῦ ἀδελφοῦ τὰ τέκνα δύο, τοὺς καλλίστους τῶν θεῶν. καὶ ὑμεῖς ὦ τρίτωνες, διαπορθμεύσατε τὴν Λητὼ ἐς αὐτήν, καὶ γαληνὰ ἅπαντα ἔστω. τὸν δράκοντα δέ, ὃς νῦν ἐξοιστρεῖ αὐτὴν φοβῶν, τὰ νεογνὰ, ἐπειδὰν τεχθῇ, αὐτίκα μέτεισι, καὶ τιμωρήσει τῇ μητρί. σὺ δὲ ἀπάγγελλε τῷ Διὶ, ταῦτα εἶναι εὐτρεπῆ. ἕστη-

κεν ἡ Δῆλος. ἡκέτω ἡ Λητώ, καὶ τικτέτω.

## ΞΑΝΘΟΥ ΚΑΙ ΘΑΛΑΣΣΗΣ.

Δέξαι με ὦ θάλασσα, δεινὰ πεπονθότα, καὶ κατάσβεσόν μου τὰ τραύματα. Θά. τί τοῦτο ὦ Ξάνθε; τίς σε κατέκαυσεν; Ξάν. Ἥφαιστος. ἀλλ' ἀπηνθράκωμαι ὅλως ὁ κακοδαίμων, καὶ ζέω. Θά. διατί δέ σοι ἐνέβαλε τὸ πῦρ. Ξάν. διὰ τὸν υἱὸν τῆς Θέτιδος. ἐπεὶ γὰρ φονεύοντα τοὺς Φρύγας ἱκέτευσα, ὁ δ' οὐκ ἐπαύσατο τῆς ὀργῆς, ἀλλ' ὑπὸ τῶν νεκρῶν ἀπέφραττέ μοι τὸν ῥοῦν, ἐλεήσας τοὺς ἀθλίους, ἐπῆλθον, ἐπικλύσαι θέλων, ὡς φοβηθεὶς ἀπόσχοιτο τῶν ἀνδρῶν. ἐνταῦθα ὁ Ἥφαιστος, ἔτυχε γὰρ πλησίον που ὤν, πᾶν ὅσον οἶμαι πῦρ εἶχε, καὶ ὅσον ἐν τῇ Αἴτνῃ, καὶ εἴ ποθι ἄλλοθι, φέρων, ἐπῆλθέ μοι. καὶ ἔκαυσε μὲν τὰς πτελέας, καὶ μυρρίκας. ὤπτησε δὲ καὶ τοὺς κακοδαίμονας ἰχθῦς, καὶ τὰς ἐγχέλυας. αὐτὸν δὲ ἐμὲ ὑπερκαχλάσαι ποιήσας, μικροῦ δεῖν ὅλον ξηρὸν εἴργασται. ὁρᾷς δ' οὖν ὅπως διάκειμαι ὑπὸ τῶν ἐγκαυμάτων; Θά. θολερὸς ὦ Ξάνθε, καὶ θερμός, ὡς εἰκός. τὸ αἷμα μὲν, ἀπὸ τῶν νεκρῶν. ἡ θέρμη δ', ὡς φής, ἀπὸ τοῦ πυρός. καὶ εἰκότως ὦ Ξάνθε, ὃς ἐπὶ τὸν ἐμὸν υἱὸν ὥρμησας, οὐκ αἰδεσθεὶς ὅτι Νηρηΐδος υἱὸς ἦν. Ξάν. οὐκ ἔδει οὖν ἐλεῆσαι γείτονας ὄντας τοὺς Φρύγας; Θά. τὸν Ἥφαιστον δὲ οὐκ ἔδει ἐλεῆσαι, Θέτιδος υἱὸν ὄντα τὸν ἀχιλλέα;

## ΔΩΡΙΔΟΣ ΚΑΙ ΘΕΤΙΔΟΣ.

Τι δακρύεις ὦ Θέτι; Θε. καλλίστην ὦ Δωρὶ κόρην εἶδον ἐς κιβωτὸν ὑπὸ τοῦ πατρὸς ἐμβληθεῖσαν, αὐτήν τε καὶ βρέφος αὐτῆς ἀρτιγέννητον. ἐκέλευσε δὲ ὁ πατὴρ τοὺς ναύτας ἀναλαβόντας τὸ κιβώτιον, ἐπειδὰν πολὺ ἀπὸ τῆς γῆς ἀποσπάσωσιν, ἀφεῖναι ἐς τὴν θάλασσαν, ὡς ἀπόλοιτο ἡ ἀθλία καὶ αὐτή, καὶ τὸ βρέφος. Δω. τίνος δ' ἕνεκα ὦ Ἀδελφή, ἐπεὶ ἔμαθες ἀκριβῶς ἅπαντα; Θε. ἀκρίσιος ὁ πατὴρ αὐτῆς, καλλίστην οὖσαν, ἐπαρθένευεν εἰς χαλκοῦν τινα θάλαμον ἐμβαλών. εἶτα τὸ μὲν ἀληθὲς οὐκ ἔχω εἰπεῖν. φασὶ δ' οὖν τὸν Δία χρυσὸν γενόμενον, ῥυῆναι διὰ τοῦ ὀρόφου ἐπ' αὐτήν. δεξαμένην δ' ἐκείνην ἐς τὸν κόλπον καταρρέοντα τὸν θεόν, ἐγκύμονα γενέσθαι. τοῦτο αἰσθόμενος ὁ πατήρ, ἄγριός τις καὶ ζηλότυπος γέρων, ἠγανάκτησε. καὶ ὑπό τινος μεμοιχεῦσθαι οἰηθεὶς αὐτήν, ἐμβάλλει ἐς τὴν κιβωτὸν ἄρτι τετοκυῖαν. Δω. ἡ δέ, τί ἔπραττεν ὦ Θέτι, ὁπότε καθίετο; Θε. ὑπὲρ αὐτῆς μὲν ἐσίγα ὦ Δωρί, καὶ ἔφερε τὴν καταδίκην. τὸ βρέφος δὲ παρῃτεῖτο μὴ ἀποθανεῖν, δακρύουσα, καὶ τῷ πάππῳ δεικνύουσα αὐτό, κάλλιστον ὄν. τὸ δέ, ὑπ' ἀγνοίας τῶν κακῶν, ὑπεμειδία πρὸς τὴν θάλασσαν. ὑποπίμπλαμαι αὖθις τοὺς ὀφθαλμοὺς δακρύων, μνημονεύουσα αὐτῶν. Δω. κἀμὲ δακρῦσαι

σαι ἐποίησας. ἀλλ' ἤδη τεθνᾶσιν; Θέ. οὐδαμῶς· νήχεται γὰρ ἔτι ἡ κιβωτὸς ἀμφὶ τὴν Σέριφον, ζῶντας αὐτοὺς φυλάττουσα. Δω. τί οὖν οὐχὶ σώζομεν αὐτὴν, τοῖς ἁλιεῦσι τούτοις ἐμβαλοῦσαι ἐς τὰ δίκτυα τοῖς Σεριφίοις; οἱ δὲ ἀνασπάσαντες, σώσουσι δηλονότι. Θέ. εὖ λέγεις, οὕτω ποιῶμεν. μὴ γὰρ ἀπολέσθω μήτε αὐτὴ, μήτε τὸ παιδίον οὕτως ὂν καλόν.

## ΠΟΣΕΙΔΩΝΟΣ ΚΑΙ ΕΝΙΠΕΩΣ.

ΟΥ καλὰ ταῦτα ὦ Πόσειδον. εἰρήσεται γὰρ τἀληθές. ὑπελθών μου τὴν ἐρωμένην, εἰκασθεὶς ἐμοὶ, διεκόρησας τὴν παῖδα. ἡ δὲ ᾤετο ὑπ' ἐμοῦ ταῦτα πεπονθέναι, καὶ διὰ τοῦτο παρεῖχεν ἑαυτήν. Πο. σὺ γὰρ ὦ Ἐνιπεῦ, ὑπεροπτικὸς ἦσθα, καὶ βραδὺς, ὃς κόρης οὕτω καλῆς φοιτώσης ὁσημέραι παρὰ σὲ, ἀπολλυμένης ὑπὸ τοῦ ἔρωτος, ὑπερεώρας, καὶ ἔχαιρες λυπῶν αὐτήν. ἡ δὲ παρὰ τὰς ὄχθας ἀλύουσα, καὶ ἐπεμβαίνουσα, καὶ λουομένη, ἐνίοτε ηὔχετό σοι ἐντυχεῖν. σὺ δ' ἐθρύπτου πρὸς αὐτήν. Ενι. τί οὖν, διὰ τοῦτο ἐχρῆν σε προαρπάσαι τὸν ἔρωτα, καὶ καθυποκρίνεσθαι Ἐνιπέα ἀντὶ Ποσειδῶνος εἶναι, καὶ κατασοφίσασθαι τὴν Τυρὼ ἀφελῆ κόρην οὖσαν; Πο. ὀψὲ ζηλοτυπεῖς ὦ Ἐνιπεῦ, ὑπερόπτης πρότερον ὤν. ἡ Τυρὼ δὲ, οὐδὲν δεινὸν πέπονθεν, οἰομένη ὑπὸ σοῦ διακεκορῆσθαι. Ενι. οὐ μὲν οὖν· ἔφης γὰρ ἀπιὼν,

ὅτι Ποσειδῶν ἦσθα. ὃ καὶ μάλιστα ἐλύπησεν αὐτήν, καὶ ἐγὼ τοῦτο ἠδίκημαι, ὅτι τὰ ἐμὰ σὺ ηὐφραίνου τότε, καὶ περιστήσας πορφύρεόν τι κῦμα, ὅπερ ὑμᾶς συνέκρυπτε, ἅμα συνῆσθα τῇ παιδὶ ἀντ' ἐμοῦ. Πο. σὺ γὰρ οὐκ ἤθελες ὦ Ἐνιπεῦ.

## ΤΡΙΤΩΝΟΣ ΚΑΙ ΝΗΡΗΙΔΩΝ.

Τὸ κῆτος ὑμῶν ὦ Νηρηΐδες, ὃ ἐπὶ τὴν τοῦ Κηφέως θυγατέρα τὴν Ἀνδρομέδαν ἐπέμψατε, οὔτε τὴν παῖδα ἠδίκησεν ὡς οἴεσθε, καὶ αὐτὸ ἤδη τέθνηκε. Νη. ὑπὸ τίνος ὦ Τρίτων, ἢ ὁ Κηφεὺς καθάπερ δέλεαρ προθεὶς τὴν κόρην ἀπέκτεινεν ἐπιών, λοχήσας μετὰ πολλῆς δυνάμεως;

Τρι. οὐκ. ἀλλ' ἴστε οἶμαι, ὦ Ἰφιάνασσα, τὸν Περσέα, τὸ τῆς Δανάης παιδίον, ὃ μετὰ τῆς μητρὸς ἐν τῇ κιβωτῷ ἐμβληθὲν ἐς τὴν θάλασσαν ὑπὸ τοῦ μητροπάτορος, ἐσώσατε, οἰκτείρασαι αὐτούς.

Ἰφι. οἶδα ὃν λέγεις. εἰκὸς δὲ ἤδη νεανίαν εἶναι, καὶ μάλα γενναῖόν τε καὶ καλὸν ἰδεῖν. Τρί. οὗτος ἀπέκτεινε τὸ κῆτος. Ἰφι. διατί ὦ Τρίτων; οὐ γὰρ δὴ σῶστρα ἡμῖν τοιαῦτα ἐκτίνειν αὐτὸν ἐχρῆν. Τρί. ἐγὼ ὑμῖν φράσω τὸ πᾶν ὡς ἐγένετο. ἐστάλη μὲν οὗτος ἐπὶ τὰς Γοργόνας, ἆθλόν τινα τοῦτον τῷ βασιλεῖ ἐπιτελῶν. ἐπεὶ δὲ ἀφίκετο ἐς τὴν Λιβύην. Ἰφι. πῶς ὦ Τρίτων, μόνος, ἢ καὶ ἄλλους συμμάχους ἦγεν; ἄλλως γὰρ δύσπορος ἡ ὁδός. Τρί. διὰ τοῦ ἀέρος. ὑπόπτερον γὰρ αὐ-

τὴν Ἀθηνᾶν ἔθνησκον. ἐπεὶ δ' οὖν ἧκεν ὅπου διῃτῶντο, αἱ μὲν ἐκάθευδον οἶμαι. ὁ δὲ, ἀποτεμὼν τῆς Μεδούσης τὴν κεφαλὴν, ᾤχετ' ἀποπτάμενος.

ΙΦΙ. πῶς ἰδών; ἀθέατοι γάρ εἰσιν. ἢ ὃς ἂν ἴδῃ, οὐκ ἔτ' ἄλλο μετὰ ταῦτα ἴδοι; ΤΡΙ. ἡ Ἀθηνᾶ τὴν ἀσπίδα προφαίνουσα, τοιαῦτα γὰρ ἤκουσα διηγουμένου αὐτοῦ πρὸς τὴν Ἀνδρομέδαν, καὶ πρὸς τὸν Κηφέα ὕστερον, ἡ Ἀθηνᾶ δὴ ἐπὶ τῆς ἀσπίδος ὑποστιλβούσης, ὥσπερ ἐπὶ κατόπτρου παρέσχεν αὐτῷ ἰδεῖν τὴν εἰκόνα τῆς Μεδούσης. εἶτα λαβόμενος τῇ λαιᾷ τῆς κόμης, ἐνορῶν δὲ τὴν εἰκόνα, τῇ δεξιᾷ τὴν ἅρπην ἔχων, ἀπέτεμε τὴν κεφαλὴν αὐτῆς. καὶ πρὶν ἀνέγρεσθαι τὰς ἀδελφὰς, ἀνέπτατο. ἐπεὶ δὲ κατὰ τὴν παράλιον ταύτην Αἰθιοπίαν ἐγένετο, ἤδη πρόσγειος πετόμενος, ὁρᾷ τὴν Ἀνδρομέδαν προκειμένην, ἐπί τινος πέτρας προβλῆτος προσπεπατταλευμένην, καλλίστην ὦ θεοὶ, καθειμένην τὰς κόμας, ἡμίγυμνον πολὺ ἔνερθε τῶν μαστῶν. καὶ τὸ μὲν πρῶτον οἰκτείρας τὴν τύχην αὐτῆς, ἀνηρώτα τὴν αἰτίαν τῆς καταδίκης. κατὰ μικρὸν δὲ ἁλοὺς ἔρωτι, ἐχρῆν γὰρ σεσῶσθαι τὴν παῖδα, βοηθεῖν διέγνω. καὶ ἐπειδὴ τὸ κῆτος ἐπῄει μάλα φοβερὸν, ὡς καταπιόμενον τὴν Ἀνδρομέδαν, ὑπεραιωρηθεὶς ὁ νεανίσκος, πρόκωπον ἔχων τὴν ἅρπην, τῇ μὲν καθικνεῖται. τῇ δὲ προδεικνὺς τὴν Γοργόνα, λίθον ἐποίει αὐτό.

τὸ δὲ, τέθνηκε γοῦν, καὶ πέπηγεν αὐτοῦ τὰ πολλὰ ὅσα εἶδε τὴν Μέδουσαν. ὁ δὲ, λύσας τὰ δεσμὰ τῆς παρθένου, ὑποσχὼν τὴν χεῖρα, ὑπεδέξατο ἀκροποδητὶ κατιοῦσαν ἐκ τῆς πέτρας, ὀλισθηρᾶς οὔσης. καὶ νῦν γαμεῖ ἐν τοῦ Κηφέως, καὶ ἀπάξει αὐτὴν ἐς Ἄργος. ὥστε ἀντὶ θανάτου, γάμον οὐ τὸν τυχόντα εὕρετο. Νη. ἐγὼ μὲν οὐ πάνυ τῷ γεγονότι ἄχθομαι. τί γὰρ ἡ παῖς ἠδίκει ἡμᾶς, εἴ τι ἡ μήτηρ ἐμεγαλαύχει τότε, καὶ ἠξίου καλλίων εἶναι; Τρί. ὅτι οὕτως ἂν ἤλγησεν ἐπὶ τῇ θυγατρὶ, μήτηρ γε οὖσα. Νη. μηκέτι μεμνήμεθα ὦ Δωρὶ ἐκείνων, εἴ τι βάρβαρος γυνὴ ὑπὲρ τὴν ἀξίαν ἐλάλησεν. ἱκανὴν γὰρ ἡμῖν τιμωρίαν ἔδωκε, φοβηθεῖσα ἐπὶ τῇ παιδί. χαίρωμεν οὖν τῷ γάμῳ.

## ΖΕΦΥΡΟΥ ΚΑΙ ΝΟΤΟΥ.

Ουπώποτε πομπὴν ἐγὼ μεγαλοπρεπεστέραν εἶδον ἐν τῇ θαλάττῃ, ἀφ' οὗ εἰμι, καὶ πνέω. σὺ δὲ οὐκ εἶδες ὦ Νότε; Νό. τίνα ταύτην λέγεις ὦ Ζέφυρε τὴν πομπήν; ἢ τίνες οἱ πέμποντες ἦσαν; Ζε. ἡδίστου θεάματος ἀπελείφθης, οἷον οὐκ ἄλλο ἴδοις ἔτι. Νό. περὶ τὴν Ἐρυθρὰν γὰρ θάλασσαν εἰργαζόμην. ἐπέπνευσα δὲ καὶ μέρος τῆς Ινδικῆς, ὅσα παράλια τῆς χώρας. οὐδὲν οὖν οἶδα, ὧν λέγεις. Ζε. ἀλλὰ τὸν σιδώνιον Αγήνορα οἶδας; Νό. ναί. τὸν τῆς Εὐρώπης πατέρα. τί μήν; Ζε. περὶ αὐτῆς ἐκείνης διηγή-

σομαί σοι.

σμαῖσι. ΝΟ. μῶν ὅτι ὁ Ζεὺς ἐραστὴς ἐκ πολλοῦ τῆς παιδός; τοῦτο γὰρ καὶ πάλαι ἠπιστάμην. ΖΕ. οὐκοῦν τὸν μὲν ἔρωτα οἶσθα. τὰ μετὰ ταῦτα δὲ ἤδη ἄκουσον. ἡ μὲν Εὐρώπη κατεληλύθει ἐπὶ τὴν ἠιόνα παίζουσα, τὰς ἡλικιώτιδας παραλαβοῦσα. ὁ Ζεὺς δὲ ταύρῳ εἰκάσας ἑαυτὸν, συνέπαιζεν αὐταῖς, κάλλιστος φαινόμενος. λευκός τε γὰρ ἦν ἀκριβῶς, καὶ τὰ κέρατα εὐκαμπὴς, καὶ τὸ βλέμμα ἥμερος. ἐσκίρτα οὖν καὶ αὐτὸς ἐπὶ τῆς ἠιόνος, καὶ ἐμυκᾶτο ἥδιστον, ὥστε τὴν Εὐρώπην τολμῆσαι καὶ ἀναβῆναι αὐτόν. ὡς δὲ τοῦτ᾽ ἐγένετο, δρομαῖος μὲν ὁ Ζεὺς ὥρμησεν ἐπὶ τὴν θάλατταν φέρων αὐτὴν, καὶ ἐνήχετο ἐμπεσών. ἡ δὲ πάνυ ἐκπλαγεῖσα τῷ πράγματι, τῇ λαιᾷ μὲν εἴχετο τοῦ κέρατος, ὡς μὴ ἀπολισθάνοι. τῇ ἑτέρᾳ δὲ, ἠνεμωμένον τὸν πέπλον ξυνεῖχε. ΝΟ. ἡδὺ τοῦτο θέαμα ὦ Ζέφυρε εἶδες, καὶ ἐρωτικὸν, νηχόμενον τὸν Δία, φέροντα τὴν ἀγαπωμένην. ΖΕ. καὶ μὴν τὰ μετὰ ταῦτα ἡδίω παρὰ πολὺ ὦ Νότε. ἥ τε γὰρ θάλαττα εὐθὺς ἀκύμων ἐγένετο, καὶ τὴν γαλήνην ἐπισπασαμένη, λείαν παρεῖχεν ἑαυτήν. ἡμεῖς δὲ πάντες ἡσυχίαν ἄγοντες, οὐδὲν ἄλλο ἢ θεαταὶ μόνον τῶν γιγνομένων παρηκολουθοῦμεν. ἔρωτες δὲ παραπετόμενοι, μικρὸν ὑπὲρ τὴν θάλατταν, ὡς ἐνίοτε ἄκροις τοῖς ποσὶν ἐπιψαύειν τοῦ ὕδατος, ἡμμένας τὰς δᾷδας φέροντες, ᾖδον

ἅμα τὸν ὑμέναιον. αἱ Νηρηΐδες δὲ ἀναδῦσαι, παρίππευον ἐπὶ τῶν δελφίνων ἐπικροτοῦσαι, ἡμίγυμνοι αἱ πολλαί. τό, τε τῶν Τριτώνων γένος, καὶ εἴ τι ἄλλο μὴ φοβερὸν ἰδεῖν τῶν θαλαττίων, ἅπαντα περιεχόρευε τὴν παῖδα. ὁ μὲν γὰρ Ποσειδῶν ἐπιβεβηκὼς ἅρματος, παροχούμενός τε, καὶ τὴν Ἀμφιτρίτην ἔχων, προῆγε γεγηθώς, προοδοιπορῶν νηχομένῳ τῷ ἀδελφῷ. ἐπὶ πᾶσι δὲ τὴν Ἀφροδίτην δύο Τρίτωνες ἔφερον, ἐπὶ κόγχης κατακειμένην, ἄνθη παντοῖα ἐπιπάττουσαν τῇ νύμφῃ. ταῦτα ἐκ Φοινίκης ἄχρι τῆς Κρήτης ἐγένετο. ἐπεὶ δὲ ἐπέβη τῇ νήσῳ, ὁ μὲν ταῦρος οὐκέτι ἐφαίνετο. ἐπιλαβόμενος δὲ τῆς χειρὸς ὁ Ζεύς, ἀπῆγε τὴν Εὐρώπην εἰς τὸ Δικταῖον ἄντρον, ἐρυθριῶσαν, καὶ κάτω ὁρῶσαν. ἠπίστατο γὰρ ἤδη ἐφ' ὅ, τι ἄγοιτο. ἡμεῖς δ' ἐμπεσόντες, ἄλλος ἄλλο τοῦ πελάγους μέρος διεκυμαίνομεν. Νό. ὦ μακάριε Ζέφυρε τῆς θέας. ἐγὼ δὲ γρῦπας, καὶ ἐλέφαντας, καὶ μέλανας ἀνθρώπους ἑώρων.

## ΝΕΚΡΙΚΟΙ ΔΙΑΛΟΓΟΙ.

### ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΠΟΛΥΔΕΥΚΟΥΣ. ΔΙΟΓΕΝΗΣ.

Ὦ Πολύδευκες, ἐντέλλομαί σοι, ἐπειδὰν τάχιστα ἀνέλθῃς, σὸν γάρ ἐστιν οἶμαι τὸ ἀναβιῶναι αὔριον, ἤν που ἴδῃς Μένιππον τὸν κύνα, εὕροις δ' ἂν αὐτὸν ἐν Κορίνθῳ κατὰ τὸ Κράνειον,

ἢ ἐν Λυκείῳ, τῶν ἐριζόντων πρὸς ἀλλήλους φιλο-
σόφων καταγελῶντα, εἰπεῖν πρὸς αὐτὸν, ὅτι σοὶ
ὦ Μένιππε κελεύει ὁ Διογένης, εἴ σοι ἱκανῶς τὰ
ὑπὲρ γῆς καταγεγέλασται, ἥκειν ἐνθάδε πολ-
λῷ πλείω ἐπιγελασόμενον. ἐκεῖ μὲν γὰρ ἐν ἀμ-
φιβόλῳ σοι ἔτι ὁ γέλως ἦν, καὶ πολὺ τὸ, τίς γὰρ
ὅλως οἶδε τὰ μετὰ τὸν βίον. ἐνταῦθα δὲ, οὐ παύ-
σῃ βεβαίως γελῶν, καθάπερ ἐγὼ νῦν. καὶ μάλιστα
ἐπειδὰν ὁρᾷς τοὺς πλουσίους, καὶ σατράπας,
καὶ τυράννους, οὕτω ταπεινοὺς καὶ ἀσήμους, ἐκ
μόνης οἰμωγῆς διαγινωσκομένους. καὶ ὅτι μαλθα-
κοὶ καὶ ἀγεννεῖς εἰσι, μεμνημένοι τῶν ἄνω. ταῦτα
λέγε αὐτῷ. καὶ προσέτι, ἐμπλησάμενον τὴν πή-
ραν ἥκειν θέρμων τε πολλῶν, καὶ εἴ που εὕροι ἐν
τῇ τριόδῳ Ἑκάτης δεῖπνον κείμενον, ἢ ᾠὸν ἐκ
καθαρσίου, ἤ τι τοιοῦτο. Πολυ. ἀλλ' ἀπαγγελῶ
ταῦτα ὦ Διόγενες. ὅπως δὲ εἰδῶ μάλιστα, ὁποῖός
τίς ἐστι τὴν ὄψιν; Διο. γέρων, φαλακρὸς, τρι-
βώνιον ἔχων πολύθυρον, ἅπαντι ἀνέμῳ ἀναπε-
πταμένον, καὶ ταῖς ἐπιπτυχαῖς τῶν ῥακίων ποι-
κίλον. γελᾷ δ' ἀεὶ, καὶ τὰ πολλὰ τοὺς ἀλαζό-
νας τούτους φιλοσόφους ἐπισκώπτει. Πολυ. ῥᾴ-
διον εὑρεῖν ἀπό γε τούτων. Διο. βούλει καὶ
πρὸς αὐτοὺς ἐκείνους ἐντείλωμαί τι τοὺς φιλο-
σόφους; Πολυ. λέγε. οὐ βαρὺ γὰρ οὐδὲ τοῦτο.
Διο. τὸ μὲν ὅλον, παύσασθαι αὐτοῖς παρεγγύα

ληροῦσι, καὶ περὶ τῶν ὅλων ἐρίζουσι, καὶ κέρατα φύουσιν ἀλλήλοις, καὶ κροκοδείλους ποιοῦσι, καὶ τοιαῦτα ἄπορα ἐρωτᾶν διδάσκουσι τὸν νοῦν. Πολυ. ἀλλ' ἐμὲ ἀμαθῆ καὶ ἀπαίδευτον εἶναι φήσουσι, κατηγοροῦντα τῆς σοφίας αὐτῶν. Διο. σὺ δὲ οἰμώζειν αὐτοῖς παρ' ἐμοῦ λέγε. Πολυ. καὶ ταῦτα ὦ Διόγενες ἀπαγγελῶ. Διο. τοῖς πλουσίοις δὲ ὦ φίλτατον Πολυδεύκιον, ἀπάγγελε ταῦτα παρ' ἡμῶν· τί ὦ μάταιοι τὸν χρυσὸν φυλάττετε; τί δὲ τιμωρεῖσθε ἑαυτοὺς λογιζόμενοι τοὺς τόκους; καὶ τάλαντα ἐπὶ ταλάντοις συντιθέντες, οὓς χρὴ ἕνα ὀβολὸν ἔχοντας, ἥκειν μετ' ὀλίγον; Πολυ. εἰρήσεται καὶ ταῦτα πρὸς ἐκείνους. Διο. ἀλλὰ καὶ τοῖς καλοῖς γε καὶ ἰσχυροῖς λέγε, Μεγίλλῳ τε τῷ Κορινθίῳ, καὶ Δαμοξένῳ τῷ παλαιστῇ, ὅτι παρ' ἡμῖν οὔτε ἡ ξανθὴ κόμη, οὔτε τὰ χαροπὰ, ἢ μέλανα ὄμματα, ἢ ἐρύθημα ἐπὶ τοῦ προσώπου ἔτι ἐστὶν, ἢ νεῦρα εὔτονα, ἢ ὦμοι καρτεροί. ἀλλὰ πάντα μία ἡμῖν κόνις φασὶ, κρανία γυμνὰ τοῦ κάλλους. Πολυ. οὐ χαλεπὸν οὐδὲ ταῦτα εἰπεῖν πρὸς τοὺς καλοὺς καὶ ἰσχυρούς. Διο. καὶ τοῖς πένησιν ὦ λάκων, πολλοὶ δ' εἰσὶ, καὶ ἀχθόμενοι τῷ πράγματι, καὶ οἰκτείροντες τὴν ἀπορίαν, λέγε μήτε δακρύειν, μήτε οἰμώζειν, διηγησάμενος τὴν ἐνταῦθα ἰσοτιμίαν· καὶ ὅτι ὄψονται τοὺς ἐκεῖ πλουσίους οὐδὲν ἀμείνους αὐτῶν, καὶ Λακεδαιμονίοις δὲ τοῖς σοῖς, ταῦτα εἰ

δοκεῖ, παρ' ἐμοῦ ἐπιτίμησον, λέγων ἐκλελύσθαι αὐτούς. Πολυ. μηδὲν ὦ Διόγενες περὶ Λακεδαιμονίων λέγε. οὐ γὰρ ἀνέξομαί γε. ἃ δὲ πρὸς τοὺς ἄλλους ἔφησθα, ἀπαγγελῶ. Διο. ἐάσωμεν τούτους, ἐπεί σοι δοκεῖ. σὺ δὲ οἷς προεῖπον, ἀπένεγκαι παρ' ἐμοῦ τοὺς λόγους.

## ΠΛΟΥΤΩΝ, Η ΚΑΤΑ ΜΕΝΙΠΠΟΥ.

Οὐ φέρομεν ὦ Πλούτων, Μένιππον τουτονὶ τὸν κύνα παροικοῦντα, ὥστε ἢ ἐκεῖνόν ποι κατάστησον, ἢ ἡμεῖς μετοικήσωμεν εἰς ἕτερον τόπον. Πλού. τί δ' ὑμᾶς δεινὸν ἐργάζεται, ὁμόνεκρος ὤν; Κροῖσος. ἐπειδὰν ἡμεῖς οἰμώζωμεν καὶ στένωμεν, ἐκείνων μεμνημένοι τῶν ἄνω, Μίδας μὲν οὑτοσὶ τοῦ χρυσίου, Σαρδανάπαλος δὲ τῆς πολλῆς τρυφῆς, ἐγὼ δὲ τῶν θησαυρῶν, ἐπιγελᾷ, καὶ ἐξονειδίζει, ἀνδράποδα καὶ καθάρματα ἡμᾶς ἀποκαλῶν. ἐνίοτε δὲ καὶ ᾄδων, ἐπιταράττει ἡμῶν τὰς οἰμωγάς. καὶ ὅλως, λυπηρός ἐστι. Πλου. τί ταῦτα φασὶν ὦ Μένιππε; Μέ. ἀληθῆ ὦ Πλούτων. μισῶ γὰρ αὐτοὺς ἀγεννεῖς, καὶ ὀλεθρίους ὄντας, οἷς οὐκ ἀπέχρησε βιῶναι κακῶς, ἀλλὰ καὶ ἀποθανόντες ἔτι μέμνηνται, καὶ περιέχονται τῶν ἄνω. χαίρω τοιγαροῦν ἀνιῶν αὐτούς. Πλου. ἀλλ' οὐ χρή, λυποῦνται γὰρ οὐ μικρῶν στερόμενοι. Μέ. καὶ σὺ μωραίνεις ὦ Πλούτων, ὁμόψηφος ὢν τοῖς τούτων στεναγμοῖς; Πλού. οὐδαμῶς. ἀλλ' οὐκ ἂν

ἐθελήσαιμι στασιάζειν ὑμᾶς. Μέ. καὶ μὴν ὦ κάκιστοι Λυδῶν, καὶ Φρυγῶν, καὶ Ἀσσυρίων, οὕτω γινώσκετε, ὡς οὐδὲ παυσομένου μου, ἔνθα γὰρ ἂν ἴητε, ἀκολουθήσω ἀνιῶν, καὶ κατᾴδων, καὶ καταγελῶν. Κροῖ. ταῦτα οὐχ ὕβρις; Μένι. οὐκ. ἀλλ' ἐκεῖνα ὕβρις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε, προσκυνεῖσθαι ἀξιοῦντες, καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες, καὶ τοῦ θανάτου τὸ παράπαν οὐ μνημονεύοντες. τοιγαροῦν οἰμώξετε, πάντων ἐκείνων ἀφῃρημένοι. Κροῖ. πολλῶν γε ὦ θεοί, καὶ μεγάλων κτημάτων. Μί. ὅσου μὲν ἐγὼ χρυσοῦ. Σαρ. ὅσης δ' ἐγὼ τρυφῆς. Μέ. εὖγε οὕτω ποιεῖτε. ὀδύρεσθε μὲν ὑμεῖς. ἐγὼ δὲ, τὸ γνῶθι σαυτὸν πολλάκις συνείρων, ἐπᾴσομαι ὑμῖν. πρέποι γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπᾳδόμενον.

## ΜΕΝΙΠΠΟΥ, ΑΜΦΙΛΟΧΟΥ, ΚΑΙ ΤΡΟΦΩΝΙΟΥ.

### ΜΕΝΙΠΠΟΣ.

Σφὼ μὲν τοι ὦ Τροφώνιε, καὶ Ἀμφίλοχε, νεκροὶ ὄντες, οὐκ οἶδ' ὅπως ναῶν κατηξιώθητε, καὶ μάντεις δοκεῖτε. καὶ οἱ μάταιοι τῶν ἀνθρώπων, θεοὺς ὑμᾶς ὑπειλήφασιν εἶναι. Τρο. τί οὖν ἡμεῖς αἴτιοι, εἰ ὑπ' ἀνοίας ἐκεῖνοι τοιαῦτα περὶ νεκρῶν δοξάζουσιν; Μένι. ἀλλ' οὐκ ἂν ἐδόξαζον, εἰ μὴ ζῶντες καὶ ὑμεῖς τοιαῦτα ἐτερατεύεσθε, ὡς τὰ μέλλοντα προειδότες, καὶ προειπεῖν

δυνάμενοι τοῖς ἐρωμένοις. Τρο. ὦ Μένιππε, Ἀμφίλοχος μὲν οὗτος ἂν εἰδείη, ὅτι αὐτῷ ἀπολογητέον ὑπὲρ αὐτοῦ. ἐγὼ δὲ, ἥρως εἰμὶ, καὶ μαντεύομαι, ἤν τις κατέλθοι παρ' ἐμέ. σὺ δ' ἔοικας οὐκ ἐπιδεδημηκέναι Λεβαδείᾳ τὸ παράπαν. οὐ γὰρ ἠπίστεις σὺ τούτοις. Με. τί φὴς; εἰ μὴ ἐς Λεβάδειαν γὰρ παρέλθω, καὶ ἐσταλμένος ταῖς ὀθόναις, γελοίως μᾶζαν ἐν ταῖν χεροῖν ἔχων, ἐσερπύσω διὰ τοῦ στομίου ταπεινοῦ ὄντος ἐς τὸ σπήλαιον, οὐκ ἂν ἐδυνάμην εἰδέναι ὅτι νεκρὸς εἶ, ὥσπερ ἡμεῖς, μόνῃ τῇ γοητείᾳ διαφέρων; ἀλλὰ πρὸς τῆς μαντικῆς, τί δὲ ὁ ἥρως ἐστίν; ἀγνοῶ γάρ. Τρο. ἐξ ἀνθρώπου τι καὶ θεοῦ σύνθετον. Με. ὃ μήτε ἄνθρωπός ἐστιν, ὡς φὴς, μήτε θεὸς, καὶ συναμφότερόν ἐστι; νῦν οὖν ποῦ σου τὸ θεοῦ ἐκεῖνο ἡμίτομον ἀπελήλυθε;

Τρο. χρᾷ ὦ Μένιππε ἐν Βοιωτίᾳ. Με. οὐκ οἶδα ὦ Τροφώνιε ὅ, τι καὶ λέγεις. ὅτι μέντοι ὅλος εἶ νεκρὸς, ἀκριβῶς ὁρῶ.

## ΕΡΜΟΥ ΚΑΙ ΧΑΡΩΝΟΣ.

ΛΟγισώμεθα ὦ πορθμεῦ, εἰ δοκεῖ, ὁπόσα μοι ὀφείλεις ἤδη, ὅπως μὴ αὖθις ἐρίζωμέν τι περὶ αὐτῶν. Χα. λογισώμεθα ὦ Ἑρμῆ. ἄμεινον γὰρ ὡρίσαι περὶ αὐτῶν, καὶ ἀπραγμονέστερον. Ερ. ἄγκυραν ἐντειλαμένῳ ἐκόμισα πέντε δραχμῶν. Χα. πολλοῦ λέγεις. Ερ. νὴ τὸν Ἀϊδωνέα, τῶν πέντε ὠνησάμην, καὶ τροπωτῆρα

δύο

δύο ὀβολῶν. Χα. τίθει πέντε δραχμὰς, καὶ ὀβολοὺς δύο. Ερ. καὶ ἀκέστραν ὑπὲρ τοῦ ἱστίου πέντε ὀβολοὺς ἐγὼ κατέβαλον. Χα. καὶ τούτους προστίθει. Ερ. καὶ κηρὸν, ὡς ἐπιπλάσαι τοῦ σκαφιδίου τὰ ἀνεωγότα, καὶ ἥλους δὲ, καὶ καλώδιον, ἀφ' οὗ τὴν ὑπέραν ἐποίησας, δύο δραχμῶν ἅπαντα. Χα. εὖγε ἄξια ταῦτα ὠνήσω. Ερ. ταῦτά ἐστιν, εἰ μή τι ἄλλο ἡμᾶς διέλαθεν ἐν τῷ λογισμῷ. πότε δ' οὖν ταῦτ' ἀποδώσειν φῄς; Χα. νῦν μὲν ὦ Ερμῆ ἀδύνατον. ἢν δὲ λοιμός τις ἢ πόλεμος καταπέμψῃ ἀθρόους τινὰς, ἐνέσται τότε ἀποκερδαίνειν ἐν τῷ πλήθει παραλογιζόμενον τὰ πορθμία. Ερ. νῦν οὖν ἐγὼ καθεδοῦμαι, τὰ κάκιστα εὐχόμενος γενέσθαι, ὡς ἂν ἀπὸ τούτων ἀπολάβοιμι. Χα. οὐκ ἔστιν ἄλλως ὦ Ερμῆ. νῦν δ' ὀλίγοι ὡς ὁρᾷς ἀφικνοῦνται ἡμῖν. εἰρήνη γάρ. Ερ. ἄμεινον οὕτως, εἰ καὶ ἡμῖν παρατείνοιτο ὑπὸ σοῦ τὸ ὄφλημα. πλὴν ἀλλ' οἱ μὲν παλαιοὶ ὦ Χάρων, οἶσθα οἷοι παρεγίνοντο, ἀνδρεῖοι ἅπαντες, αἵματος ἀνάπλεῳ, καὶ τραυματίαι οἱ πολλοί. νῦν δὲ ἢ φαρμάκῳ τις ὑπὸ τοῦ παιδὸς ἀποθανὼν, ἢ ὑπὸ τῆς γυναικὸς, ἢ ὑπὸ τρυφῆς ἐξῳδηκὼς τὴν γαστέρα, καὶ τὰ σκέλη. ὠχροὶ γὰρ ἅπαντες, καὶ ἀγεννεῖς, οὐδὲ ὅμοιοι ἐκείνοις. οἱ δὲ πλεῖστοι αὐτῶν διὰ χρήματα ἥκουσιν, ἐπιβουλεύοντες ἀλλήλοις, ὡς ἐοίκασι. Χα. πάνυ γὰρ περιπόθητά ἐστι ταῦτα. Ερ. οὐκοῦν οὐδ'

ἐγὼ

ἐγὼ δόξαιμι ἂν ἁμαρτάνειν, πικρῶς ἀπαιτῶν τὰ ὀφειλόμενα παρὰ σοῦ.

## ΠΛΟΥΤΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ.

Τὸν γέροντα οἶσθα, τὸν πάνυ γεγηρακότα λέγω, τὸν πλούσιον Εὐκράτην, ᾧ παῖδες μὲν οὐκ εἰσίν, οἱ τὸν κλῆρον δὲ θηρῶντες, πεντακισμύριοι; Ερ. ναί, τὸν σικυώνιον φής. τί οὖν; Πλου. ἐκεῖνον μὲν ὦ Ερμῆ ζῆν ἔασον ἐπὶ τοῖς ἐννενήκοντα ἔτεσιν, ἃ βεβίωκεν, ἐπιμετρήσας ἄλλα τοσαῦτα, εἴγε οἷόν τε ἦν, καὶ ἔτι πλείω. τοὺς δέ γε κόλακας αὐτοῦ, Χαρῖνον τὸν νέον, καὶ Δαμώνα, καὶ τοὺς ἄλλους κατάσπασον ἐφεξῆς ἅπαντας. Ερ. ἄτοπον ἂν δόξειε τὸ τοιοῦτον. Πλου. οὐ μὲν οὖν, ἀλλὰ δικαιότατον. τί γὰρ ἐκεῖνοι παθόντες, εὔχονται ἀποθανεῖν ἐκεῖνον; ἢ τῶν χρημάτων ἀντιποιοῦνται, οὐδὲν προσήκοντες. ὃ δὲ πάντων ἐστὶ μιαρώτατον, ὅτι καὶ τοιαῦτα εὐχόμενοι, ὅμως θεραπεύουσιν ἔν γε τῷ φανερῷ. καὶ νοσοῦντος, ἃ μὲν βουλεύονται, πᾶσι πρόδηλα. θύσειν δὲ ὅμως ὑπισχνοῦνται, ἢν ῥαΐσῃ. καὶ ὅλως, ποικίλη τις ἡ κολακεία τῶν ἀνδρῶν. διὰ ταῦτα, ὁ μὲν ἔστω ἀθάνατος. οἱ δέ, προαπίτωσαν αὐτοῦ μάτην ἐπιχανόντες. Ερ. γελοῖα πείσονται, πανοῦργοι ὄντες. πολλὰ κἀκεῖνος εὖ μάλα διαβουκολεῖ αὐτούς, καὶ ἐπελπίζει. καὶ ὅλως, ἀεὶ θανόντι ἐοικώς, ἔρρωται πολὺ μᾶλλον τῶν νέων. οἱ δέ, ἤδη τὸν κλῆρον ἐν

σφίσι διῃρημένοι, βόσκονται, ζωὴν μακαρίαν πρὸς ἑαυτοὺς τιθέντες. Πλου. οὐκοῦν ὁ μὲν ἀποδυσάμενος τὸ γῆρας ὥσπερ Ἰόλεως ἀνηβησάτω. οἱ δ᾽ ἀπὸ μέσων τῶν ἐλπίδων τὸν ὀνειροποληθέντα πλοῦτον ἀπολιπόντες, ἡκέτωσαν ἤδη κακοὶ κακῶς ἀποθανόντες. Ερ. ἀμέλησον ὦ Πλούτων. μετελεύσομαι γάρ σοι ἤδη αὐτοὺς καθ᾽ ἕνα ἑξῆς. ἑπτὰ δὲ οἶμαι εἰσι. Πλου. κατάσπα. ὁ δὲ παραπέμψει ἕκαστον, ἀντὶ γέροντος αὖθις πρωθήβης γενόμενος.

## ΤΕΡΨΙΩΝΟΣ ΚΑΙ ΠΛΟΥΤΩΝΟΣ.

Τοῦτο ὦ Πλούτων δίκαιον, ἐμὲ μὲν τεθνάναι τριάκοντα ἔτη γεγονότα, τὸν δὲ ὑπὲρ τὰ ἐνενήκοντα γέροντα Θούκριτον ζῆν ἔτι; Πλου. δικαιότατον μὲν οὖν ὦ Τερψίων, εἴ γε ὁ μὲν ζῇ, μηδένα εὐχόμενος ἀποθανεῖν τῶν φίλων. σὺ δὲ, παρὰ πάντα τὸν χρόνον ἐπεβούλευες αὐτῷ, περιμένων τὸν κλῆρον. Τερ. οὐ γὰρ ἐχρῆν γέροντα ὄντα, καὶ μηκέτι χρῆσθαι τῷ πλούτῳ αὐτὸν δυνάμενον, ἀπελθεῖν τοῦ βίου, παραχωρήσαντα τοῖς νέοις; Πλου. καινὰ ὦ Τερψίων νομοθετεῖς, τὸν μηκέτι τῷ πλούτῳ χρῆσθαι δυνάμενον, πρὸς ἡδονὴν ἀποθνήσκειν. τὸ δὲ, ἄλλως ἡ μοῖρα καὶ ἡ φύσις διέταξεν. Τερ. οὐκοῦν ταύτην αἰτιῶμαι τῆς διατάξεως. ἐχρῆν γὰρ τὸ πρᾶγμα ἑξῆς πως γίνεσθαι, τὸν πρεσβύτερον, πρότερον·

τερον. καὶ μετὰ τοῦτον, ὅστις καὶ τῇ ἡλικίᾳ μετ' αὐτόν. ἀναστρέφεσθαι δὲ μηδαμῶς, μηδὲ ζῆν μὲν τὸν ὑπεργήρων, ὀδόντας τρεῖς ἔτι λοιποὺς ἔχοντα, μόγις ὁρῶντα, οἰκέταις τέτρασιν ἐπικεκυφότα, κορύζης μὲν τὴν ῥῖνα, λήμης δὲ τοὺς ὀφθαλμοὺς μεστὸν ὄντα, οὐδὲν ἔτι ἡδὺ εἰδότα, ἔμψυχόν τινα τάφον ὑπὸ τῶν νέων καταγελώμενον· ἀποθνήσκειν δὲ καλλίστους, καὶ ἐρρωμενεστάτους νεανίσκους. ἄνω γὰρ ποταμῶν τοῦτό γε. ἢ τὸ τελευταῖον εἰδέναι ἐχρῆν, πότε καὶ τεθνήξεται τῶν γερόντων ἕκαστος, ἵνα μὴ μάτην ἂν ἐνίους ἐθεράπευον. νῦν δὲ τὸ τῆς παροιμίας, Η ἅμαξα τὸν βοῦν πολλάκις ἐκφέρει. ΠΛΟΥ. ταῦτα μὲν ὦ Τερψίων πολὺ συνετώτερα γίνεται, ἤπερ σοὶ δοκεῖ. καὶ ὑμεῖς δὲ τί παθόντες, ἀλλοτρίοις ἐπιχαίρετε, καὶ τοῖς ἀτέκνοις τῶν γερόντων εἰσποιεῖτε, φέροντες αὑτούς; τοιγαροῦν γέλωτα ὀφλισκάνετε, πρὸ ἐκείνων κατορυττόμενοι. καὶ τὸ πρᾶγμα τοῖς πολλοῖς ἥδιστον γίνεται. ὅσῳ γὰρ ὑμεῖς ἐκείνους ἀποθανεῖν εὔχεσθε, τοσούτῳ ἅπασιν ἡδὺ προαποθανεῖν ὑμᾶς αὐτῶν. καινὴν γάρ τινα ταύτην τέχνην ἐπινενοήκατε, γραῶν καὶ γερόντων ἐρῶντες. καὶ μάλιστα, εἰ ἄτεκνοι εἶεν. οἱ δὲ ἔντεκνοι, ὑμῖν ἀνέραστοι. καίτοι, πολλοὶ ἤδη τῶν ἐρωμένων συνιέντες ὑμῶν τὴν πανουργίαν τοῦ ἔρωτος,

ἢν καὶ τύχωσι παῖδας ἔχοντες, μισεῖν αὐτοὺς πλάττονται, ὡς καὶ αὐτοὶ ἐραστὰς ἔχωσιν. εἶτα ἐν ταῖς διαθήκαις, ἀπεκλείσθησαν μὲν οἱ πάλαι δορυφορήσαντες. ὁ δὲ παῖς, καὶ ἡ φύσις, ὥσπερ ἐστὶ δίκαιον, κρατοῦσι πάντων. οἱ δὲ, ὑποπρίουσι τοὺς ὀδόντας, ἀποσμυγέντες. ΤΕΡ. ἀληθῆ ταῦτα φής. ἐμοῦ γοῦν Θούκριτος πόσα κατέφαγεν, ἀεὶ τεθνήξεσθαι δοκῶν; καὶ ὁπότε εἰσίοιμι, ὑποστένων, καὶ μύχιόν τι καθάπερ ἐξ ᾠοῦ νεοττὸς ἀτελὴς ὑποκρώζων, ὥστ᾿ ἔγωγε ὅσον αὐτίκα οἰόμενος ἐπιβήσειν αὐτὸν τῆς σοροῦ, ἔπεμπόν τε πολλά, ὡς μὴ ὑπερβάλλοιντό με οἱ ἀντερασταὶ τῇ μεγαλοδωρεᾷ. καὶ τὰ πολλὰ ὑπὸ φροντίδων, ἄγρυπνος ἐκείμην, ἀριθμῶν ἕκαστα, καὶ διατάττων. ταῦτα γοῦν μοι καὶ τοῦ ἀποθανεῖν αἴτια γεγένηται, ἀγρυπνία, καὶ φροντίδες. ὁ δὲ τοσοῦτόν μοι δέλεαρ καταπιὼν, ἐφεστήκει θαπτομένῳ πρῴην ἐπιγελῶν. ΠΛΟΥ. εὖγε ὦ Θούκριτε, ζῴης ἐπὶ μήκιστον, πλουτῶν ἅμα, καὶ τῶν τοιούτων καταγελῶν. μὴ δὲ πρότερόν γε σὺ ἀποθάνοις, ἢ προπέμψεις πάντας τοὺς κόλακας. ΤΕΡ. τοῦτο μὲν ὦ Πλούτων καὶ ἐμοὶ ἥδιστον ἤδη, εἰ καὶ Χαριάδης προτεθνήξεται Θουκρίτου. ΠΛΟΥ. θάῤῥει ὦ Τερψίων. καὶ Φείδων γὰρ, καὶ Μέλανθος, καὶ ὅλως ἅπαντες, προελεύσονται αὐτοῦ ὑπὸ ταῖς αὐταῖς φροντίσιν. ΤΕΡ. ἐπαινῶ ταῦτα. ζῴης ἐπὶ μήκιστον ὦ Θούκριτε.

## ΖΗΝΟΦΑΝΤΟΥ ΚΑΙ ΚΑΛΛΙΔΗΜΙΔΟΥ.

Σύ ὦ Καλλιδημίδη, πῶς ἀπέθανες; ἐγὼ μὲν γὰρ, ὅτι παράσιτος ὢν Δεινίου, πλέον τοῦ ἱκανοῦ ἐμφαγὼν, ἀπεπνίγην, οἶσθα. παρῆς γὰρ ἀποθνήσκοντί μοι. Καλ. παρῆν ὦ Ζηνόφαντε. τὸ δὲ ἐμὸν, παράδοξόν τι ἐγένετο. οἶσθα γὰρ καὶ σύ που Πτοιόδωρον τὸν γέροντα. Ζη. τὸν ἄτεκνον, τὸν πλούσιον, ᾧ σε τὰ πολλὰ ᾔδειν συνόντα; Καλ. ἐκεῖνον αὐτὸν ἀεὶ ἐθεράπευον, ὑπισχνούμενον ἐπ' ἐμοὶ κληρονόμῳ τεθνήξεσθαι. ἐπεὶ δὲ τὸ πρᾶγμα ἐς μήκιστον ἐπεγίνετο, καὶ ὑπὲρ τὸν Τιθωνὸν ὁ γέρων ἔζη, ἐπίτομόν τινα ὁδὸν ἐπὶ τὸν κλῆρον ἐξεῦρον. πριάμενος γὰρ φάρμακον, ἀνέπεισα τὸν οἰνοχόον, ἐπειδὰν τάχιστα ὁ Πτοιόδωρος αἰτήσῃ πιεῖν, πίνει δ' ἐπιεικῶς, ζωρότερον ἐμβαλόντα εἰς κύλικα, ἕτοιμον ἔχειν αὐτὸ, καὶ ἐπιδοῦναι αὐτῷ. εἰ δὲ τοῦτο ποιήσει, ἐλεύθερον ἐπωμοσάμην ἀφήσειν αὐτόν. Ζη. τί οὖν ἐγένετο; πάνυ γάρ τι παράδοξον ἐρεῖν ἔοικας. Καλ. ἐπεὶ τοίνυν λουσάμενοι ἥκομεν, δύο ἤδη ὁ μειρακίσκος κύλικας ἑτοίμους ἔχων, τὴν μὲν τῷ Πτοιοδώρῳ τὴν ἔχουσαν τὸ φάρμακον, τὴν δ' ἑτέραν ἐμοὶ, σφαλεὶς οὐκ οἶδ' ὅπως, ἐμοὶ μὲν τὸ φάρμακον, Πτοιοδώρῳ δὲ τὸ ἀφάρμακτον ἐπέδωκεν. εἶτα ὁ μὲν, ἔπινεν. ἐγὼ δὲ αὐτίκα μάλα ἐκτάδην ἔκειμαι,

ὑποβολιμαῖος αὐτοῦ ἐκεῖνος νεκρός. τί οὖν γελᾷς ὦ Ζηνόφαντε; καὶ μὴν οὐκ ἔδει γε ἑταίρῳ ἀνδρὶ ἐπιγελᾶν. Ζη. ἀστεῖα γὰρ ὦ Καλλιδημίδη πέπονθας. ὁ γέρων δὲ, τί πρὸς ταῦτα; Καλ. πρῶτον μὲν ὑπεταράχθη πρὸς τὸ αἰφνίδιον. εἶτα συνεὶς οἶμαι τὸ γεγενημένον, ἐγέλα καὶ αὐτὸς, οἷά γε ὁ οἰνοχόος εἴργασται. Ζη. πλὴν ἀλλ' οὐδὲ σὲ τὴν ἐπίτομον ἐχρῆν τραπέσθαι. ἧκε γὰρ ἄν σοι διὰ τῆς λεωφόρου ἀσφαλέστερον, εἰ καὶ ὀλίγῳ βραδύτερος ἦν.

## ΚΝΗΜΟΝΟΣ ΚΑΙ ΔΑΜΝΙΠΠΟΥ. ΚΝΗΜΩΝ.

Τοῦτο ἐκεῖνο τὸ τῆς παροιμίας, ὁ νεβρὸς τὸν λέοντα. Δα. τί ἀγανακτεῖς ὦ Κνήμων; Κνη. πυνθάνῃ ὅ, τι ἀγανακτῶ; κληρονόμον ἀκούσιον καταλέλοιπα, κατασοφισθεὶς ὁ ἄθλιος, οὓς ἐβουλόμην ἂν μάλιστα σχεῖν τὰ μὰ, παραλιπών. Δα. πῶς τοῦτ' ἐγένετο; Κνη. Ερμόλαον τὸν πάνυ πλούσιον ἄτεκνον ὄντα, ἐθεράπευον ἐπὶ θανάτῳ. κἀκεῖνος οὐκ ἀηδῶς τὴν θεραπείαν προσίετο. ἔδοξε δή μοι καὶ σοφὸν τοῦτ' εἶναι, θέσθαι διαθήκας εἰς τὸ φανερὸν, ἐν αἷς ἐκείνῳ καταλέλοιπα τὰ μὰ πάντα, ὡς κἀκεῖνος ζηλώσειε, καὶ τὰ αὐτὰ πράξειε. Δα. τί οὖν δὴ ἐκεῖνος; Κνη. ὅ, τι μὲν αὐτὸς ἐνέγραψε ταῖς ἑαυτοῦ διαθήκαις, οὐκ οἶδα. ἐγὼ γοῦν ἄφνω ἀπέθανον, τοῦ τέγους μοι ἐπιπεσόντος. καὶ νῦν Ερμόλαος ἔχει τὰ μὰ, ὥσπερ τις

περ τις λάβραξ καὶ τὸ ἄγκιστρον τῷ δελέατι συγκατασπάσας. Δά. οὐ μόνον, ἀλλὰ καὶ αὐτόν σε τὸν ἁλιέα. ὥστε σόφισμα κατὰ σαυτοῦ συντέθεικας. Κνή. ἔοικα. οἰμώζω τοιγαροῦν.

## ΣΙΜΥΛΟΥ ΚΑΙ ΠΟΛΥΣΤΡΑΤΟΥ.

Ἥκεις ποτὲ ὦ Πολύστρατε καὶ σὺ παρ' ἡμᾶς, ἔτη οἶμαι οὐ πολὺ ἀπολέοντα τῶν ἑκατὸν βεβιωκώς. Πολύ. ὀκτὼ ἐπὶ τοῖς ἐνενήκοντα ὦ Σίμυλε. Σι. πῶς δὲ τὰ μετ' ἐμὲ ταῦτ' ἐβίως τριάκοντα; ἐγὼ γὰρ ἀμφὶ τὰ ἑβδομήκοντα σοῦ ὄντος, ἀπέθανον. Πολύ. ὑπερήδιστα, εἰ καί σοι παράδοξον τοῦτο δόξει. Σι. παράδοξον. εἰ γέρων τε, καὶ ἀσθενὴς, ἄτεκνός τε προσέτι, ἥδεσθαι τοῖς ἐν τῷ βίῳ ἐδύνασο. Πολύ. τὸ μὲν πρῶτον, ἅπαντα ἐδυνάμην. ἔτι καὶ παῖδες ὡραῖοι ἦσαν πολλοί, καὶ γυναῖκες ἁβρόταται, καὶ μύρα, καὶ οἶνος ἀνθοσμίας, καὶ τράπεζα ὑπὲρ τὰς ἐν Σικελίᾳ. Σι. καινὰ ταῦτα. ἐγὼ γάρ σε πάνυ φειδόμενον ἠπιστάμην. Πολύ. ἀλλ' ὑπέρρει μοι ὦ γενναῖε παρ' ἄλλων τἀγαθά. καὶ ἕωθεν μὲν εὐθὺς ἐπὶ θύρας ἐφοίτων μάλα πολλοί. μετὰ δὲ, παντοῖά μοι δῶρα προσήγετο, ἁπανταχόθεν τῆς γῆς κάλλιστα. Σι. ἐτυράννησας ὦ Πολύστρατε μετ' ἐμέ; Πολύ. οὐκ, ἀλλ' ἐραστὰς εἶχον μυρίους. Σι. ἐγέλασα. ἐραστὰς σὺ τηλικοῦτος ὤν, ὀδόντας τέτταρας ἔχων;

Πολυ. νὴ Δία οὐκ ἄριστος γε τῶν ἐν τῇ πόλει. καὶ γέροντά με, καὶ φαλακρὸν ὡς ὁρᾷς ὄντα, καὶ λημῶντα προσέτι, καὶ κορυζῶντα, ὑπερήδιστον τοῖς θεραπεύουσι. καὶ μακάριος ἦν αὐτῶν, ὅν ἂν καὶ μόνον προσέβλεψα. Σι. μῶν καὶ σύ τινα ὥσπερ ὁ Φάων τὴν ἀφροδίτην ἐκ Χίου διεπόρθμευσας, εἶτά σοι εὐξαμένῳ ἔδωκε νέον εἶναι, καὶ καλὸν ἐξ ὑπαρχῆς, καὶ ἀξιέραστον; Πολύ. οὐκ. ἀλλὰ τοιοῦτος ὤν, περιπόθητος ἦν. Σι. αἰνίγματα λέγεις. Πολυ. καὶ μὴν πρόδηλός γε ὁ ἔρως οὑτοσὶ πολὺς ὤν, ὁ περὶ τοὺς ἀτέκνους καὶ πλουσίους γέροντας. Σι. νῦν μανθάνω σου τὸ κάλλος ὦ θαυμάσιε, ὅτι παρὰ τῆς χρυσῆς Ἀφροδίτης ἦν. Πολυ. ἀτὰρ ὦ Σίμυλε, οὐκ ὀλίγα τῶν ἐραστῶν ἀπολέλαυκα, μονονουχὶ προσκυνούμενος ὑπ᾽ αὐτῶν. καὶ ἐθρυπτόμην δὲ πολλάκις, καὶ ἀπέκλειον αὐτῶν τινὰς ἐνίοτε. οἱ δὲ ἡμιλλῶντο, καὶ ἀλλήλους ὑπερέβαλλοντο ἐν τῇ περὶ ἐμὲ φιλοτιμίᾳ. Σι. τέλος δ᾽ οὖν, πῶς ἐβουλεύσω περὶ τῶν κτημάτων; Πολυ. εἰς τὸ φανερὸν μὲν ἕκαστον αὐτῶν κληρονόμον ἀπολιπεῖν ἔφασκον. ὁ δ᾽ ἐπίστευέ τε, καὶ κολακευτικώτερον παρεσκεύαζεν ἑαυτόν. ἄλλας δὲ τὰς ἀληθεῖς διαθήκας ἐκείνας ἔχων, κατέλιπον, οἰμώζειν ἅπασι φράσας. Σι. τίνα δ᾽ αἱ τελευταῖαι τὸν κληρονόμον ἔσχον; ἤ πού τινὰ τῶν ἀπὸ τοῦ γένους; Πολυ. οὐ μὰ Δί᾽, ἀλλὰ νεώνητόν τινα

τῶν

τῶν μειρακίων τῶν ὡραίων Φρύγα. Σι. ἀμφὶ πόσα ἔτη ὦ Πολύστρατε; Πολύ. σχεδὸν ἀμφὶ τὰ εἴκοσι. Σι. ἤδη μανθάνω, ἄξια δή σοι ἐκεῖνος ἐχαρίζετο. Πολυ. πλὴν ἀλλὰ πολὺ ἐκείνων ἀξιώτερος ἦν κληρονομεῖν, εἰ καὶ βάρβαρος ἦν, καὶ ὄλεθρος. ὃν ἤδη καὶ αὐτοὶ οἱ ἄριστοι θεραπεύουσιν. ἐκεῖνος τοίνυν ἐκληρονόμησέ μου. καὶ νῦν ἐν τοῖς εὐπατρίδαις ἀριθμεῖται, ὑπεξυρημένος μὲν τὸ γένειον, καὶ βαρβαρίζων. Κόδρου δὲ εὐγενέστερος, καὶ Νιρέως καλλίων, καὶ Ὀδυσσέως συνετώτερος λεγόμενος εἶναι. Σι. οὔ μοι μέλει. καὶ στρατηγησάτω τῆς Ἑλλάδος, εἰ δοκεῖ, ἐκεῖνοι δὲ, μὴ κληρονομείτωσαν μόνον.

## ΧΑΡΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ.

Ἀκούσατε ὡς ἔχει ὑμῖν τὰ πράγματα. μικρὸν μὲν ὑμῖν, ὡς ὁρᾶτε, τὸ σκαφίδιον, καὶ ὑπόσαθρόν ἐστι, καὶ διαρρεῖ τὰ πολλὰ, καὶ ἢν ῥαπῇ ἐπὶ θάτερα, οἰχήσεται περιτραπέν. ὑμεῖς δὲ, τοσοῦτοι ἅμα ἥκετε, πολλὰ ἐπιφερόμενοι ἕκαστος. ἢν οὖν μετὰ τούτων ἐμβῆτε, δέδια μὴ ὕστερον μετανοήσετε. καὶ μάλιστα ὁπόσοι νεῖν οὐκ ἐπίστασθε. Νε. πῶς οὖν ποιήσαντες εὐπλοήσομεν; Χά. ἐγὼ ὑμῖν φράσω. γυμνοὺς ἐπιβαίνειν χρὴ, τὰ περιττὰ ταῦτα πάντα ἐπὶ τῆς ᾐόνος καταλιπόντας. μόλις γὰρ ἂν καὶ οὕτω δέξαιτο ὑμᾶς τὸ πορθμεῖον. σοὶ δὲ ὦ Ἑρμῆ, μελήσει τὸ ἀπὸ τούτου μηδένα

διελέγχεσθαι αὐτῶν, ὃς ἂν μὴ ψιλὸς ᾖ, καὶ τὰ ἔπι-
πλα ὥσπερ ἔφην, ἀποβαλών. παρὰ δὲ τὴν ἀπο-
βάθραν ἑστὼς, διαγίνωσκε αὐτοὺς, καὶ ἀναλάμβα-
νε, γυμνοὺς ἐπιβαίνειν ἀναγκάζων. Ερ. εὖ λέγεις·
καὶ οὕτω ποιήσωμεν. οὑτοσὶ τίς ὁ πρῶτός ἐστι;
Μέ. Μένιππος ἔγωγε. ἀλλ᾽ ἰδοὺ ἡ πήρα μοι ὦ
Ἑρμῆ, καὶ τὸ βάκτρον, ἐς τὴν λίμνην ἀποῤῥίφ-
θων. τὸν τρίβωνα δὲ οὐδ᾽ ἐκόμισα, εὖ ποιῶν.
Ερ. ἔμβαινε ὦ Μένιππε ἀνδρῶν ἄριστε, καὶ τὴν
προεδρίαν ἔχε παρὰ τὸν κυβερνήτην ἐφ᾽ ὑψη-
λοῦ, ὡς ἐπισκοπῇς ἅπαντας. ὁ καλὸς δ᾽ οὗτος,
τίς ἐστι; Χαρ. Χαρμόλεως ὁ μεγαρικὸς, ἐπέρα-
στος, οὗ τὸ φίλημα διτάλαντον ἦν. Ερ. ἀπόδυ-
θι τοιγαροῦν τὸ κάλλος, καὶ τὰ χείλη αὐτοῖς φι-
λήμασι, καὶ τὴν κόμην τὴν βαθεῖαν, καὶ τὸ ἐπὶ
τῶν παρειῶν ἐρύθημα, καὶ τὸ δέρμα ὅλον. ἔχει
καλῶς. εὔζωνος εἶ. ἐπίβαινε ἤδη. ὁ δὲ τὴν πορ-
φυρίδα οὑτοσὶ, καὶ τὸ διάδημα, ὁ βλοσυρὸς,
τίς ὢν τυγχάνεις; Λα. Λάμπιχος, Γελῴων τύ-
ραννος. Ερ. τί οὖν ὦ Λάμπιχε τοσαῦτα ἔχων
πάρει; Λα. τί οὖν ἐχρῆν ὦ Ἑρμῆ, γυμνὸν ἥκειν
τύραννον ἄνδρα; Ερ. τύραννον μὲν οὐδαμῶς,
νεκρὸν δὲ μάλα. ὥστε ἀπόθου ταῦτα. Λα.
ἰδού σοι ὁ πλοῦτος ἀπέῤῥιπται. Ερ. καὶ τὸν
τῦφον ἀπόῤῥιψον ὦ Λάμπιχε, καὶ τὴν ὑπερο-
ψίαν. βαρύσει γὰρ τὸ πορθμεῖον, συνεμπεσόν-

πα. Λα. οὐκοῦν ἀλλὰ τὸ διάδημα ἔασόν με ἔχειν, καὶ τὴν ἐφεστρίδα. Ερ. οὐδαμῶς. ἀλλὰ καὶ ταῦτα ἄφες. Λα. εἶεν. τί ἔτι, πάντα γὰρ ἀφῆκα ὡς ὁρᾷς. Ερ. καὶ τὴν ὠμότητα, καὶ τὴν ἄνοιαν, καὶ τὴν ὕβριν, καὶ τὴν ὀργὴν, καὶ ταῦτα ἄφες. Λα. ἰδού σοι, ψιλός εἰμι. Ερ. ἔμβαινε ἤδη. σὺ δὲ ὁ παχὺς, ὁ πολύσαρκος, τίς εἶ; Δα. Δαμασίας ὁ ἀθλητής. Ερ. ναὶ ἔοικας. οἶδα γάρ σε, πολλάκις ἐν ταῖς παλαίστραις ἰδών. Δα. ναὶ ὦ Ἑρμῆ. ἀλλὰ παράδεξαί με γυμνὸν ὄντα. Ερ. οὐ γυμνὸν ὦ βέλτιστε, τοσαύτας σάρκας περιβεβλημένον. ὥστε ἀπόδυθι αὐτὰς, ἐπεὶ καταδύσεις τὸ σκάφος, τὸν ἕτερον πόδα ὑπερθεὶς μόνον. ἀλλὰ καὶ τοὺς στεφάνους τούτους ἀπόρριψον, καὶ τὰ κηρύγματα. Δα. ἰδού σοι γυμνὸς ὡς ὁρᾷς ἀληθῶς εἰμι, καὶ ἰσοστάσιος τοῖς ἄλλοις νεκροῖς. Ερ. οὕτως ἄμεινον ἀβαρῆ εἶναι. ὥστε ἔμβαινε. καὶ σὺ δὲ τὸν πλοῦτον ἀποθέμενος ὦ Κράτων, καὶ τὴν μαλακίαν δὲ προσέτι, καὶ τὴν τρυφὴν, μηδὲ τὰ ἐντάφια κόμιζε, μηδὲ τὰ τῶν προγόνων ἀξιώματα. κατάλιπε δὲ καὶ γένος, καὶ δόξαν, καὶ εἴ ποτέ σε ἡ πόλις ἀνεκήρυξεν, εὐεργέτην δηλονότι. καὶ τὰς τῶν ἀνδριάντων ἐπιγραφὰς, μηδὲ ὅτι μέγαν τάφον ἐπὶ σοὶ ἔχωσαν λέγε. βαρύνει γὰρ καὶ ταῦτα μνημονευόμενα. Κα. οὐχ ἑκὼν μὲν, ἀπορρίψω δέ. τί γὰρ ἂν καὶ πάθοιμι; Ερ. βαβαί. σὺ δὲ ὁ ἔνοπλος.

σὺ βούλει; ἢ τί τὸ τρόπαιον τοῦτο φέρεις; Στρα.
ὅτι ἐνίκησα ὦ Ερμῆ, καὶ ἠρίστευσα, καὶ ἡ πόλις
ἐτίμησέ με. Ερ. ἄφες αὐτὸ ἐν γῇ τὸ τρόπαιον. ἐν ᾅδου
γὰρ εἰρήνη, καὶ οὐδὲν ὅπλων δεήσει. ὁ σεμνὸς δὲ
οὗτος ἀπό γε τοῦ σχήματος, καὶ βρενθυόμενος,
ὁ τὰς ὀφρῦς ἐπηρκὼς, ὁ ἐπὶ τῶν φροντίδων, τίς
ἐστιν, ὁ τὸν βαθὺν πώγωνα καθειμένος; Μέ. Φι
λόσοφός τις ὦ Ερμῆ. μᾶλλον δὲ, γόης, καὶ τερατείας
μεστός. ὥστε ἀπόδυσον καὶ τοῦτον. ὄψει γὰρ πολλὰ
καὶ γελοῖα ὑπὸ τῷ ἱματίῳ κρυπτόμενα. Ερ.
κατάθου σὺ τὸ σχῆμα πρῶτον. εἶτα καὶ ταυτὶ πάν
τα. ὦ Ζεῦ, ὅσην μὲν τὴν ἀλαζονίαν κομίζει, ὅσην
δὲ ἀμαθίαν, καὶ ἔριν, καὶ κενοδοξίαν, καὶ ἐρωτή
σεις ἀπόρους, καὶ λόγους ἀκανθώδεις, καὶ ἐννοίας
πολυπλόκους; ἀλλὰ καὶ ματαιοπονίαν μάλα πολ
λὴν, καὶ λῆρον οὐκ ὀλίγον, καὶ ὕθλους, καὶ μικρο
λογίαν. νὴ Δία, καὶ χρυσίον γε τουτὶ, καὶ ἡδυπά
θειαν δὲ, καὶ ἀναισχυντίαν, καὶ ὀργὴν, καὶ τρυ
φὴν, καὶ μαλακίαν. οὐ λέληθε γάρ με, εἰ καὶ μά
λα περικρύπτεις αὐτά. καὶ τὸ ψεῦδος δὲ ἀπό
θου, καὶ τὸν τῦφον, καὶ τὸ οἴεσθαι ἀμείνω εἶναι τῶν ἄλ
λων. ὡς εἴ γε ἅπαντα ταῦτα ἔχων ἐμβαίνοις, ποία
πεντηκόντορος δέξαιτο ἄν σε; Φιλο. ἀποτίθε
μαι τοίνυν αὐτὰ, ἐπείπερ οὕτω κελεύεις. Μέ.
ἀλλὰ καὶ τὸν πώγωνα τοῦτον ἀποθέσθω ὦ Ερμῆ, βα
ρύν τε ὄντα, καὶ λάσιον ὡς ὁρᾷς, πέντε μνῶν

τρίχες εἰσὶ τοὐλάχιστον. Ερ. εὖ λέγεις. ἀπόθου καὶ τοῦτον. Φιλό. καὶ τίς ὁ ἀποκείρων ἔσται; Ερ. Μένιππος οὑτοσὶ, λαβὼν πέλεκυν τῶν ναυπηγικῶν, ἀποκόψει αὐτὸν ἐπικόπῳ τῇ ἀναβάθρᾳ χρησάμενος. Με. οὐκ ὦ Ἑρμῆ. ἀλλὰ πρίονά μοι ἀνάδος. γελοιότερον γὰρ τοῦτο. Ερ. ὁ πέλεκυς ἱκανός. Με. εὖ γε. ἀνθρωπινώτερον γὰρ νῦν ἀναπέφηνας, ἀποθέμενος αὐτοῦ τὴν κινάβραν. βούλει μικρὸν ἀφέλωμαι καὶ τῶν ὀφρύων; Ερ. μάλιστα. ὑπὲρ τὸ μέτωπον γὰρ καὶ ταύτας ἐπῆρκεν, οὐκ οἶδ' ἐφ' ὅτῳ ἀνατείνων ἑαυτόν. τί τοῦτο; καὶ δακρύεις ὦ κάθαρμα, καὶ πρὸς θάνατον ἀποδειλιᾷς; ἔμβηθι δ' οὖν. Με. ἓν ἔτι τὸ βαρύτατον ὑπὸ μάλης ἔχει. Ερ. τί ὦ Μένιππε; Με. κολακείαν ὦ Ἑρμῆ, πολλὰ ἐν τῷ βίῳ χρησιμεύσασαν αὐτῷ. Φιλο. οὐκοῦν καὶ σὺ ὦ Μένιππε, ἀπόθου τὴν ἐλευθερίαν, καὶ παρρησίαν, καὶ τὸ ἄλυπον, καὶ τὸ γενναῖον, καὶ τὸν γέλωτα. μόνος γοῦν τῶν ἄλλων γελᾷς; Ερ. μηδαμῶς. ἀλλὰ καὶ ἔχε ταῦτα, κοῦφα γὰρ καὶ πάνυ εὔφορα ὄντα, καὶ πρὸς τὸν κατάπλουν χρήσιμα. καὶ ὁ ῥήτωρ δὲ σὺ, ἀπόθου τῶν ῥημάτων τὴν τοσαύτην ἀπεραντολογίαν, καὶ ἀντιθέσεις, καὶ παρισώσεις, καὶ περιόδους, καὶ βαρβαρισμοὺς, καὶ τἆλλα βάρη τῶν λόγων. Ρη. ἢν, ἰδοὺ ἀποτίθεμαι. Ερ. εὖ ἔχει. ὥστε λύε τὰ ἀπόγεια. τὴν ἀποβάθραν ἀνελώμεθα. τὸ ἀγκύριον ἀνεσπάσθω.

πέτασον τὸ ἱστίον. εὔθυνε ὦ πορθμεῦ τὸ πηδάλιον. εὖ πάθωμεν. τί οἰμώζετε ὦ μάταιοι, καὶ μάλιστα ὁ φιλόσοφος σύ, ὁ ἀρτίως τὸν πώγωνα δεδῃωμένος; Φιλ. ὅτι ὦ Ἑρμῆ ἀθάνατον ᾤμην τὴν ψυχὴν ὑπάρχειν. Με. ψεύδεται. ἄλλα γὰρ ἔοικε λυπεῖν αὐτόν. Ερ. τὰ ποῖα; Με. ὅτι μηκέτι δειπνήσει πολυτελῆ δεῖπνα, μηδὲ νύκτωρ ἐξιὼν, ἅπαντας λανθάνων, τῷ ἱματίῳ τὴν κεφαλὴν κατειλήσας, περίεισιν ἐν κύκλῳ τὰ χαμαιτυπεῖα. καὶ ἕωθεν ἐξαπατῶν τοὺς νέους ἐπὶ τῇ σοφίᾳ, ἀργύριον λήψεται. ταῦτα λυπεῖ αὐτόν.

Φιλ. σὺ δὲ ὦ Μένιππε, οὐκ ἄχθῃ ἀποθανών;

Με. πῶς, ὃς ἔσπευσα ἐπὶ τὸν θάνατον, καλέσαντος μηδενός; ἀλλὰ μεταξὺ λόγων, οὐ κραυγή τις ἀκούεται, ὥσπερ τινῶν ἀπὸ γῆς βοώντων; Ερ. ναὶ ὦ Μένιππε. οὐκ ἀφ' ἑνός γε χώρου. ἀλλ' οἱ μὲν εἰς τὴν ἐκκλησίαν συνελθόντες, ἄσμενοι γελῶσι πάντες ἐπὶ τῷ Λαμπίχου θανάτῳ. καὶ ἡ γυνὴ αὐτοῦ συνέχεται πρὸς τῶν γυναικῶν. καὶ τὰ παιδία νεογνὰ ὄντα, ὁμοίως κἀκεῖνα ὑπὸ τῶν παίδων βάλλεται ἀφθόνοις τοῖς λίθοις. ἄλλοι δὲ Διόφαντον τὸν ῥήτορα ἐπαινοῦσιν ἐν Σικυῶνι, ἐπιταφίους λόγους διεξιόντα ἐπὶ Κράτωνι τούτῳ. καὶ νὴ Δία γε, ἡ Δαμασίου μήτηρ κωκύουσα, ἐξάρχει τοῦ θρήνου σὺν γυναιξὶν ἐπὶ τῷ Δαμασίᾳ. σὲ δὲ οὐδείς ὦ Μένιππε δακρύει, καθ' ἡσυχίαν δὲ

κεῖσαι

κλαῦσαι μόνος; Με. οὐδαμῶς, ἀλλ' ἀκούσῃ τῶν κυνῶν μετ' ὀλίγον ὠρυομένων οἴκτιστον ἐπ' ἐμοὶ, καὶ τῶν κοράκων τυπτομένων τοῖς πτεροῖς, ὁπότ' ἂν συνελθόντες θάπτωσί με. Ερ. γεννάδας εἶ ὦ Μένιππε. ἀλλ' ἐπεὶ καταπεπλεύκαμεν ἡμεῖς, ὑμεῖς μὲν ἄπιτε πρὸς τὸ δικαστήριον, εὐθεῖαν ἐκείνην προϊόντες. ἐγὼ δὲ, καὶ ὁ πορθμεὺς, ἄλλους μετελευσόμεθα. Με. εὐπλοεῖτε ὦ Ερμῆ. προϊόμεν δὲ καὶ ἡμεῖς. τί οὖν ἔτι καὶ μέλλετε; δικασθῆναι δεήσει. καὶ τὰς καταδίκας φασὶν εἶναι βαρείας, τροχοὺς, καὶ γύπας, καὶ λίθους. δειχθήσεται δὲ ὁ ἑκάστου βίος.

## ΚΡΑΤΗΤΟΣ ΚΑΙ ΔΙΟΓΕΝΟΥΣ.

Μοίριχον τὸν πλούσιον, ἐγίνωσκες ὦ Διόγενες, τὸν πάνυ πλούσιον, τὸν ἐκ Κορίνθου, τὸν τὰς πολλὰς ὁλκάδας ἔχοντα, οὗ ἀνεψιὸς Αριστέας, πλούσιος καὶ αὐτὸς ὤν; τὸ ὁμηρικὸν ἐκεῖνο εἰώθει ἐπιλέγειν, Η μ' ἀνάειρ', ἢ ἐγώ σε.

Διο. τίνος ἕνεκα ὦ Κράτης, ἐθεράπευον ἀλλήλους; Κρα. τοῦ κλήρου ἕνεκα ἑκάτερος, ἡλικιῶται ὄντες. καὶ τὰς διαθήκας εἰς τὸ φανερὸν ἐτίθεντο. Αριστέαν μὲν ὁ Μοίριχος εἰ προαποθάνοι, δεσπότην ἀφιεὶς τῶν ἑαυτοῦ πάντων. Μοίριχον δὲ ὁ Αριστέας, εἰ προαπέλθοι αὐτοῦ. ταῦτα μὲν ἐγέγραπτο. οἱ δὲ, ἐθεράπευον ἀλλήλους, ὑπερβαλλόμενοι τῇ κολακείᾳ. καὶ οἱ μάντεις, εἴτε ἀπὸ τῶν ἄστρων τεκμαιρό-

τεκμαιρώμενοι τὸ μέλλον, εἴτε ἀπὸ τῶν ὀνειράτων, ὥσγε Χαλδαίων παῖδες, ἀλλὰ καὶ ὁ Πύθιος αὐτὸς, ἄρτι μὲν Ἀριστεῖ παρεῖχε τὸ κράτος, ἄρτι δὲ Μοιρίχῳ. καὶ τὰ τάλαντα, ποτὲ μὲν ἐπὶ τοῦτον, νῦν δ' ἐπ' ἐκεῖνον ἔῤῥεπε. Διο. τί οὖν πέρας ἐγένετο ὦ Κράτης; ἀκοῦσαι γὰρ ἄξιον. Κρα. ἄμφω τεθνᾶσιν ἐπὶ μιᾶς ἡμέρας. οἱ δὲ κλῆροι, εἰς Εὐνόμιον καὶ Θρασικλέα περιῆλθον, ἄμφω συγγενεῖς ὄντας, οὐδὲ πώποτε προμαντευομένους οὕτω γενέσθαι ταῦτα. διαπλέοντες γὰρ ἀπὸ Σικυῶνος εἰς Κίῤῥαν, κατὰ μέσον τὸν πόρον πλαγίῳ περιπεσόντες τῷ Ἰάπυγι, ἀνετράπησαν. Διο. εὖ ἐποίησαν. ἡμεῖς δὲ, ὁπότε ἐν τῷ βίῳ ἦμεν, οὐδὲν τοιοῦτον ἐνενοοῦμεν περὶ ἀλλήλων. οὔτε πώποτε ηὐξάμην Ἀντισθένην ἀποθανεῖν, ὡς κληρονομήσαιμι τῆς βακτηρίας αὐτοῦ. εἶχεν δὲ πάνυ καρτερὰν ἐκ κοτίνου ποιησάμενος. οὔτε οἶμαι σὺ ὦ Κράτης ἐπεθύμεις κληρονομεῖν ἀποθανόντος ἐμοῦ, τὰ κτήματα, καὶ τὸν πίθον, καὶ τὴν πήραν, χοίνικας δύο θέρμων ἔχουσαν. Κρα. οὐδὲν γάρ μοι τούτων ἔδει. ἀλλ' οὐδὲ σοὶ ὦ Διόγενες. ἃ γὰρ ἐχρῆν, σύ τε Ἀντισθένους ἐκληρονόμησας, καὶ ἐγὼ σοῦ, πολλῷ μείζω καὶ σεμνότερα τῆς Περσῶν ἀρχῆς. Διο. τίνα ταῦτα φής; Κρα. σοφίαν, αὐτάρκειαν, ἀλήθειαν, παῤῥησίαν, ἐλευθερίαν. Διο. νὴ Δία μέμνημαι, τοῦτον διαδεξάμενος τὸν πλοῦτον παρ'

Ἀντισθένους,

ἀναθρέψας, καί σοι ἔτι πλείω καταλιπών. Κρα. ἀλλ' οἱ ἄλλοι ἠμέλουν τῶν τοιούτων κτημάτων, καὶ οὐδεὶς ἐθεράπευεν ἡμᾶς, κληρονομήσειν προσδοκῶν. ὃν δὲ τὸ χρυσίον πάντες ἔβλεπον. Διο. εἰκότως. οὐ γὰρ εἶχον ἔνθα δέξαιντο τὰ τοιαῦτα παρ' ἡμῶν, διερρυηκότες ὑπὸ τρυφῆς, καθάπερ τὰ σαθρὰ τῶν βαλαντίων. ὥστε εἴ ποτε καὶ ἐμβάλλοι τις ἐς αὐτοὺς ἢ σοφίαν, ἢ παρρησίαν, ἢ ἀλήθειαν, ἐξέπιπτεν εὐθὺς, καὶ διέρρει, τοῦ πυθμένος στέγειν οὐ δυναμένου, οἷόν τι πάσχουσιν αἱ τοῦ Δαναοῦ αὗται παρθένοι, ἐς τὸν τετρυπημένον πίθον ἐπαντλοῦσαι. τὸ δὲ χρυσίον, ὀδοῦσι, καὶ ὄνυξι, καὶ πάσῃ μηχανῇ ἐφύλαττον. Κρα. οὐκοῦν ἡμεῖς μὲν ἕξομεν κἀνταῦθα τὸν πλοῦτον. οἱ δὲ ὀβολὸν ἥξουσι κομίζοντες, καὶ τοῦτον ἄχρι τοῦ πορθμέως.

## ΑΛΕΞΑΝΔΡΟΥ, ΑΝΝΙΒΟΥ, ΜΙΝΩΟΣ, ΚΑΙ ΣΚΙΠΙΩΝΟΣ.

Ἐμὲ δεῖ προκεκρίσθαί σου ὦ Λίβυ. ἀμείνων γάρ εἰμι. Αν. οὐ μὲν οὖν, ἀλλ' ἐμέ. Αλε. οὐκοῦν ὁ Μίνως δικασάτω. Μι. τίνες δ' ἐστέ; Αλε. οὗτος μὲν, Ἀννίβας ὁ Καρχηδόνιος. ἐγὼ δὲ, Ἀλέξανδρος ὁ Φιλίππου. Μι. νὴ Δία ἔνδοξοί γε ἀμφότεροι. ἀλλὰ περὶ τίνος ὑμῖν ἡ ἔρις; Αλε. περὶ προεδρίας. φησὶ γὰρ οὗτος ἀμείνων γεγενῆσθαι στρατηγὸς ἐμοῦ. ἐγὼ δὲ, ὥσπερ ἅπαντες ἴσασιν, οὐχὶ τούτου μόνον, ἀλλὰ πάντων σχεδὸν τῶν πρὸ

ἐμοῦ

ἐμοῦ φημὶ διενεγκεῖν τὰ πολέμια. ΜΙ. οὐκοῦν
ἐν μέρει ἑκάτερος εἰπάτω. σὺ δὲ πρῶτος ὁ Λί-
βυς λέγε. ΑΝ. ἓν μὲν τοῦτο ὦ Μίνως ὠνάμην, ὅτι
ἐνταῦθα καὶ τὴν ἑλλάδα φωνὴν ἐξέμαθον, ὥσ-
τε οὐδὲ ταύτῃ πλέον οὗτος ἐνέγκαιτό μου. φη-
μὶ δὲ τούτους μάλιστα ἐπαίνου ἀξίους εἶναι, ὅσοι
τὸ μηδὲν ἐξ ἀρχῆς ὄντες, ὅμως ἐπὶ μέγα προε-
χώρησαν, δι' αὐτῶν δύναμίν τε περιβαλλόμενοι,
καὶ ἄξιοι δόξαντες ἀρχῆς. ἐγὼ γοῦν μετ' ὀλί-
γων ἐξορμήσας εἰς τὴν Ἰβηρίαν, τὸ πρῶτον ὕπαρ-
χος ὢν τῷ ἀδελφῷ, μεγίστων ἠξιώθην, ἄριστος
κριθείς. καὶ τούς γε Κελτίβηρας εἷλον, καὶ Γα-
λατῶν ἐκράτησα τῶν ἑσπερίων, καὶ τὰ μεγάλα
ὄρη ὑπερβὰς, τὰ περὶ τὸν Ἠριδανὸν, ἅπαντας
κατέδραμον. καὶ ἀναστάτους ἐποίησα τοσαύ-
τας πόλεις. καὶ τὴν πεδινὴν Ἰταλίαν ἐχειρωσά-
μην, καὶ μέχρι τῶν προαστείων τῆς προὐχούσης πό-
λεως ἦλθον. καὶ τοσούτους ἀπέκτεινα μιᾶς ἡμέ-
ρας, ὥστε τοὺς δακτυλίους αὐτῶν μεδίμνοις ἀ-
πομετρῆσαι, καὶ τοὺς ποταμοὺς γεφυρῶσαι νε-
κροῖς. καὶ ταῦτα πάντα ἔπραξα, οὔτε Ἄμμωνος
υἱὸς ὀνομαζόμενος, οὔτε θεὸς εἶναι προσποιούμε-
νος, ἢ ἐνύπνια τῆς μητρὸς διεξιὼν, ἀλλ' ἄνθρω-
πος εἶναι ὁμολογῶν, στρατηγοῖς τε τοῖς συνετω-
τάτοις ἀντεξεταζόμενος, καὶ στρατιώταις τοῖς
μαχιμωτάτοις συμπλεκόμενος. οὐ Μήδους καὶ

Ἀρμενίους καταγωνιζόμενος ὑποφθάνοντας, πρὶν διώκειν τινὰ, καὶ τῷ τολμήσαντι παραδιδόντας εὐθὺ τὴν νίκην. Ἀλέξανδρος δὲ, πατρῴαν ἀρχὴν παραλαβὼν, ηὔξησε, καὶ παρὰ πολὺ ἐξέτεινε, χρησάμενος τῇ τῆς τύχης ὁρμῇ. ἐπεὶ δ' οὖν ἐνίκησέ τε, καὶ τὸν ὄλεθρον ἐκεῖνον Δαρεῖον ἐν Ἰσσῷ τε καὶ Ἀρβήλοις ἐκράτησεν, ἀποστὰς τῶν πατρῴων, προσκυνεῖσθαι ἠξίου. καὶ δίαιταν τὴν μηδικὴν μετεδιῄτησεν ἑαυτόν. καὶ ἐμιαιφόνει ἐν τοῖς συμποσίοις τοὺς φίλους, καὶ συνελάμβανεν ἐπὶ θανάτῳ. ἐγὼ δὲ ἦρξα ἐπίσης τῆς πατρίδος. καὶ ἐπειδὴ μετεπέμπετο, τῶν πολεμίων μεγάλῳ στόλῳ ἐπιπλευσάντων τῆς Λιβύης, ταχέως ὑπήκουσα. καὶ ἰδιώτην ἐμαυτὸν παρέσχον. καὶ καταδικασθεὶς, ἤνεγκα εὐγνωμόνως τὸ πρᾶγμα. καὶ ταῦτ' ἔπραξα, βάρβαρος ὢν, καὶ ἀπαίδευτος παιδείας τῆς ἑλληνικῆς. καὶ οὔτε Ὅμηρον, ὥσπερ οὗτος, ἐρραψῴδουν, οὔτε ὑπ' Ἀριστοτέλει τῷ σοφιστῇ παιδευθεὶς, μόνῃ δὲ τῇ φύσει ἀγαθῇ χρησάμενος. ταῦτά ἐστιν, ἃ ἐγὼ Ἀλεξάνδρου ἀμείνων φημὶ εἶναι. εἰ δ' ἐστὶ καλλίων οὑτοσὶ, διότι διαδήματι τὴν κεφαλὴν διεδέδετο, Μακεδόσι μὲν ἴσως καὶ ταῦτα σεμνὰ, οὐ μὴν διὰ τοῦτ' ἀμείνων δόξειεν ἂν γενναίου καὶ στρατηγικοῦ ἀνδρὸς, τῇ γνώμῃ πλέον ἤπερ τῇ τύχῃ κεχρημένου. Μί. ὁ μὲν εἴρηκεν οὐκ ἀγεννῆ τὸν λόγον,

οὐδ

οὐδ' ὡς Λίβυν εἰκὸς ἦν ὑπὲρ αὐτοῦ. σὺ δὲ ὦ Ἀλέ-
ξανδρε, τί πρὸς ταῦτα φής; Ἀλέξ. ἐχρῆν μὲν ὦ
Μίνως, μηδὲν πρὸς ἄνδρα οὕτω θρασύν. ἱκανὴ
γὰρ ἡ φήμη διδάξαι σε. οἷος μὲν ἐγὼ βασιλεύς,
οἷος δὲ οὗτος λῃστὴς ἐγένετο. ὅμως δὲ ὅρα εἰ κατ'
ὀλίγον αὐτοῦ διήνεγκα. ὃς νέος ὢν ἔτι, παρελθὼν
ἐπὶ τὰ πράγματα, καὶ τὴν ἀρχὴν τεταραγμένην
κατέσχον, καὶ τοὺς φονέας τοῦ πατρὸς μετῆλθον,
καταφοβήσας τὴν Ἑλλάδα τῇ Θηβαίων ἀπω-
λείᾳ, στρατηγὸς ὑπ' αὐτῶν χειροτονηθείς. καὶ οὐκ ἠξίω-
σα τὴν Μακεδόνων ἀρχὴν περιέπων, ἀγαπᾶν
ἄρχειν ὁπόσων ὁ πατὴρ κατέλιπεν, ἀλλὰ πᾶ-
σαν ἐπινοήσας τὴν γῆν, καὶ δεινὸν ἡγησάμενος
εἰ μὴ ἁπάντων κρατήσαιμι, ὀλίγους ἄγων, ἐσέ-
βαλον εἰς τὴν Ἀσίαν. καὶ ἐπί τε Γρανικῷ ἐκράτη-
σα μεγάλῃ μάχῃ. καὶ τὴν Λυδίαν λαβών, καὶ Ἰω-
νίαν, καὶ Φρυγίαν, καὶ ὅλως τὰ ἐν ποσὶν ἀεὶ χειρού-
μενος, ἦλθον ἐπὶ Ἰσσόν, ἔνθα Δαρεῖος ὑπέμεινε,
μυριάδας πολλὰς στρατοῦ ἄγων. καὶ τὸ ἀπὸ τού-
του ὦ Μίνως, ὑμεῖς ἴστε ὅσους ὑμῖν νεκροὺς ἐπὶ μιᾶς
ἡμέρας κατέπεμψα. φησὶ γοῦν ὁ πορθμεύς, μὴ
διαρκέσαι αὐτοῖς τότε τὸ σκάφος, ἀλλὰ σχε-
δίας διαπηξαμένους τοὺς πολλοὺς αὐτῶν, διαπλεῦ-
σαι. καὶ ταῦτα δὲ ἔπραττον, αὐτὸς προκινδυ-
νεύων, καὶ τιτρώσκεσθαι ἀξιῶν. καὶ ἵνα σοι μὴ τὰ
ἐν Τύρῳ, μηδὲ τὰ ἐν Ἀρβήλοις διηγήσωμαι, ἀλλὰ

καὶ μέχρις Ἰνδῶν ἦλθον, καὶ τὸν Ὠκεανὸν ὅρον ἐποιησάμην τῆς ἀρχῆς, καὶ τοὺς ἐλέφαντας αὐτῶν εἷλον, καὶ Πῶρον ἐχειρωσάμην. καὶ Σκύθας δέ, οὐκ εὐκαταφρονήτους ἄνδρας, ὑπερβὰς τὸν Τάναϊν, ἐνίκησα μεγάλῃ ἱππομαχίᾳ. καὶ τοὺς φίλους εὖ ἐποίησα, καὶ τοὺς ἐχθροὺς ἠμυνάμην. εἰ δὲ καὶ θεὸς ἐδόκουν τοῖς ἀνθρώποις, συγγνωστοὶ ἐκεῖνοι, πρὸς τὸ μέγεθος τῶν πραγμάτων, καὶ τοιοῦτόν τι πιστεύσαντες περὶ ἐμοῦ. τὸ δ' οὖν τελευταῖον, ἐγὼ μὲν βασιλεύων ἀπέθανον, οὗτος δὲ ἐν φυγῇ ὤν, παρὰ Προυσίᾳ τῷ Βιθυνῷ, καθάπερ ἄξιον ἦν, πανουργότατον καὶ ὠμότατον ὄντα. ὡς γὰρ δὴ ἐκράτησε τῶν Ἰταλῶν, ἐῶ λέγειν, ὅτι οὐκ ἰσχύϊ, ἀλλὰ πονηρίᾳ, καὶ ἀπιστίᾳ, καὶ δόλοις. νόμιμον δ', ἢ προφανὲς, οὐδέν. ἐπεὶ δέ μοι ὠνείδισε τὴν τρυφήν, ἐκλελῆσθαί μοι δοκεῖ οἷα ἐποίει ἐν Καπύῃ, ἑταίραις συνών, καὶ τοὺς τοῦ πολέμου καιροὺς ὁ θαυμάσιος καθηδυπαθῶν. ἐγὼ δέ, εἰ μὴ μικρὰ τὰ ἑσπέρια δόξας, ἐπὶ τὴν ἕω μᾶλλον ὥρμησα, τί ἂν μέγα ἔπραξα; Ἰταλίαν ἀναιμωτὶ λαβών, καὶ Λιβύην, καὶ τὰ μέχρι Γαδείρων ὑπαγόμενος. ἀλλ' οὐκ ἀξιόμαχα ἔδοξέ μοι ἐκεῖνα, ὑποπτήσσοντα ἤδη, καὶ δεσπότην ὁμολογοῦντα. εἴρηκα. σὺ δὲ ὦ Μίνως δίκαζε. ἱκανὰ γὰρ ἀπὸ πολλῶν καὶ ταῦτα. Σκη. μὴ πρότερον, ἢν μὴ καὶ ἐμοῦ ἀκούσῃς. Μί. τίς γὰρ εἶ ὦ βέλτιστε; ἢ πόθεν ὢν ἐρεῖς; Σκή. Ἰταλιώτης Σκη-

πίων, στρατηγὸς, ὁ καθελὼν Καρχηδόνα, καὶ κρατήσας Λιβύων μεγάλαις μάχαις. Μί. τί οὖν καὶ σὺ ἐρεῖς; Σκη. Ἀλεξάνδρου μὲν ἥττων εἶναι, τοῦ δ' Ἀννίβου ἀμείνων. ὃς ἐδίωξα νικήσας αὐτὸν, καὶ φυγεῖν καταναγκάσας ἀτίμως. πῶς οὖν οὐκ ἀναίσχυντος οὗτος, ὃς πρὸς Ἀλέξανδρον ἁμιλλᾶται, ᾧ οὐδὲ Σκηπίων ἐγὼ ὁ νενικηκὼς αὐτὸν, παραβάλλεσθαι ἀξιῶ; Μί. νὴ Δί' εὐγνώμονα φὴς ὦ Σκηπίων. ὥστε πρῶτος μὲν κεκρίσθω Ἀλέξανδρος· μετ' αὐτὸν δὲ, σύ. εἶτα εἰ δοκεῖ, τρίτος Ἀννύβας, οὐδὲ οὗτος εὐκαταφρόνητος ὤν.

## ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΑΛΕΞΑΝΔΡΟΥ. ΔΙΟΓΕ.

Τι τοῦτο ὦ Ἀλέξανδρε; καὶ σὺ τέθνηκας ὥσπερ καὶ ἡμεῖς ἅπαντες; Αλέ. ὁρᾷς ὦ Διόγενες. οὐ παράδοξον δὲ, εἰ ἄνθρωπος ὢν, ἀπέθανον. Διο. οὐκοῦν ὁ Ἄμμων ἐψεύδετο, λέγων ἑαυτοῦ σε εἶναι υἱόν. σὺ δὲ Φιλίππου ἄρα ἦσθα; Αλε. Φιλίππου δηλαδή. οὐ γὰρ ἂν ἐτεθνήκειν Ἄμμωνος ὤν. Διο. καὶ μὴν καὶ περὶ τῆς Ὀλυμπιάδος ὅμοια ἐλέγοντο, δράκοντα ὁμιλεῖν αὐτῇ, καὶ βλέπεσθαι ἐν τῇ εὐνῇ. εἶτα οὕτω σε τεχθῆναι. τὸν δὲ Φίλιππον ἐξαπατῆσθαι, οἰόμενον πατέρα σου εἶναι. Αλέ. κἀγὼ ταῦτα ἤκουον ὥσπερ σύ. νῦν δὲ ὁρῶ ὅτι οὐδὲν ὑγιὲς οὔτε ἡ μήτηρ, οὔτε οἱ τῶν Ἀμμωνίων προφῆται ἔλεγον. Διο. ἀλλὰ τὸ ψεῦδος αὐτῶν, οὐκ

ἄχρηστον

ἄχρηστόν σοι ὦ Ἀλέξανδρε πρὸς τὰ πράγματα ἐγένετο. πολλοὶ γὰρ ὑπέπτησσον, θεόν εἶναί σε νομίζοντες. ἀτὰρ εἰπέ μοι, τίνι τὴν τοσαύτην ἀρχὴν καταλέλοιπας; ΑΛΕ. οὐκ οἶδα ὦ Διόγενες. οὐ γὰρ ἔφθασα ἐπισκῆψαί τι περὶ αὐτῆς, ἢ τοῦτο μόνον, ὅτι ἀποθνήσκων, Περδίκκᾳ τὸν δακτύλιον ἐπέδωκα. πλὴν ἀλλὰ τί γελᾷς ὦ Διόγενες; ΔΙΟ. τί γὰρ ἄλλο, ἢ ἀνεμνήσθην οἷα ἐποίει ἡ Ἑλλὰς, ἄρτι σε παρειληφότα τὴν ἀρχὴν κολακεύοντες, καὶ προστάτην αἱρούμενοι, καὶ στρατηγὸν ἐπὶ τοὺς βαρβάρους. ἔνιοι δὲ καὶ τοῖς δώδεκα θεοῖς προστιθέντες, καὶ νεὼς οἰκοδομοῦντες, καὶ θύοντες ὡς δράκοντος υἱῷ; ἀλλ' εἰπέ μοι, ποῦ σε οἱ Μακεδόνες ἔθαψαν; ΑΛΕ. ἔτι ἐν Βαβυλῶνι κεῖμαι, τρίτην ταύτην ἡμέραν. ὑπισχνεῖται δὲ Πτολεμαῖος ὁ ὑπασπιστὴς, ἤν ποτε ἀγάγῃ σχολὴν ἀπὸ τῶν θορύβων τῶν ἐν ποσὶν, εἰς Αἴγυπτον ἀπαγαγών με, θάψειν ἐκεῖ, ὡς γενοίμην εἷς τῶν Αἰγυπτίων θεῶν. ΔΙΟ. μὴ γελάσω ὦ Ἀλέξανδρε, ὁρῶν ἐν ᾅδου ἔτι σε μωραίνοντα, καὶ ἐλπίζοντα Ἄνουβιν, ἢ Ὄσιριν γενέσθαι; πλὴν ἀλλὰ ταῦτα μὲν ὦ θειότατε, μὴ ἐλπίσῃς. οὐ γὰρ θέμις ἀνελθεῖν τινα τῶν ἅπαξ διαπλευσάντων τὴν λίμνην, καὶ ἐς τὸ εἴσω τοῦ στομίου παρελθόντων. οὐ γὰρ ἀμελὴς ὁ Αἰακὸς, οὐδ' ὁ Κέρβερος εὐκαταφρόνητος. ἐκεῖνο

δὲ ἡδέως ἂν μάθοιμι παρὰ σοῦ, πῶς φέρεις ὁπότ' ἂν ἐννοήσῃς ὅσην εὐδαιμονίαν ὑπὲρ γῆς ἀπολιπὼν, ἀφῖξαι, σωματοφύλακας καὶ ὑπασπιστὰς, καὶ σατράπας, καὶ χρυσὸν τοσοῦτον, καὶ ἔθνη προσκυνοῦντα, καὶ Βαβυλῶνα, καὶ Βάκτρα, καὶ τὰ μεγάλα θηρία, καὶ τιμὴν, καὶ δόξαν, καὶ τὸ ἐπίσημον εἶναι, ἐλαύνοντα, διαδεδεμένον ταινίᾳ λευκῇ τὴν κεφαλὴν, πορφυρίδα ἐμπεπορπημένον. οὐ λυπεῖ ταῦτά σε ὑπὸ τὴν μνήμην ἰόντα; τί δακρύεις ὦ μάταιε; οὐδὲ ταῦτά σε ὁ σοφὸς Ἀριστοτέλης ἐπαίδευσε, μὴ οἴεσθαι βέβαια εἶναι τὰ παρὰ τῆς τύχης; Αλε. σοφὸς, ἁπάντων ἐκεῖνος κολάκων ἐπιτριπτότατος ὤν; ἐμὲ μόνον ἔασον τὰ Ἀριστοτέλους εἰδέναι, ὅσα μὲν ᾔτησε παρ' ἐμοῦ, οἷα δὲ ἐπέστελλεν. ὡς δὲ κατεχρῆτό μου τῇ περὶ παιδείαν φιλοτιμίᾳ, θωπεύων, καὶ ἐπαινῶν, ἄρτι μὲν ἐς τὸ κάλλος, ὡς καὶ τοῦτο μέρος ὂν τἀγαθοῦ, ἄρτι δ' ἐς τὰς πράξεις, καὶ τὸν πλοῦτον. καὶ γὰρ αὖ καὶ τοῦτ' ἀγαθὸν ἡγεῖτ' εἶναι, μὴ αἰσχύνοιτο καὶ αὐτὸς λαμβάνων. γόης ὦ Διόγενες ἄνθρωπος, καὶ τεχνίτης. πλὴν ἀλλὰ τοῦτό γε ἀπολέλαυκα αὐτοῦ τῆς σοφίας, τὸ λυπεῖσθαι ὡς ἐπὶ μεγίστοις ἀγαθοῖς, ἃ κατηριθμήσω μικρῷ γε ἔμπροσθεν. Διο. ἀλλ' οἶσθα ὃ δράσεις. ἄκος γάρ σοι τῆς λύπης ὑποθήσομαι, ἐπεὶ ἐνταῦθα γε ἑλλέβορος οὐ φύεται. σὺ δὲ κἂν τὸ λήθης ὕδωρ χανδὸν ἐπισπασάμενος πίε. καὶ αὖθις

πίε,

πίε, καὶ πολλάκις. οὕτω γὰρ ἂν παύσῃ ἐπὶ τοῖς Ἀριστοτέλους ἀγαθοῖς ἀνιώμενος. καὶ γὰρ καὶ Κλεῖτον ἐκεῖνον ὁρῶ, καὶ Καλλισθένη, καὶ ἄλλους πολλοὺς ἐπὶ σὲ ὁρμῶντας, ὡς διασπάσαιντο καὶ ἀμύναιντο ὧν ἔδρασας αὐτούς. ὥστε τὴν ἑτέραν σὺ ταύτην βάδιζε. καὶ πῖνε πολλάκις, ὡς ἔφην.

ΑΛΕΞΑΝΔΡΟΥ ΚΑΙ ΦΙΛΙΠΠΟΥ.

Νῦν μὲν ὦ Ἀλέξανδρε, οὐκ ἂν ἔξαρνος γένοιο, μὴ οὐκ ἐμὸς υἱὸς εἶναι. οὐ γὰρ ἂν ἐτεθνήκεις, Ἄμμωνός γε ὤν. Αλε. οὐδ᾽ αὐτὸς ἠγνόουν ὦ πάτερ, ὡς Φιλίππου τοῦ Ἀμύντου υἱός εἰμι. ἀλλ᾽ ἐδεξάμην τὸ μάντευμα, ὡς χρήσιμον ὂν τὰ πράγματα οἰόμενος εἶναι. Φι. πῶς λέγεις; χρήσιμον ἐδόκει σοι, τὸ παρέχειν σεαυτὸν ἐξαπατηθησόμενον ὑπὸ τῶν προφητῶν; Αλε. οὐ τοῦτο. ἀλλ᾽ οἱ βάρβαροι κατεπλάγησάν με, καὶ οὐδεὶς ἔτι ἀνθίστατο, οἰόμενοι θεῷ μάχεσθαι. ὥστε ῥᾷον ἐκράτουν αὐτῶν. Φι. τίνων ἐκράτησας σύ γε ἀξιομάχων ἀνδρῶν, ὃς δειλοῖς ἀεὶ συνηνέχθης, τοξάρια, καὶ πελτάρια, καὶ γέρρα οἰσύϊνα προβεβλημένοις; Ἑλλήνων κρατεῖν ἔργον ἦν, Βοιωτῶν καὶ Φωκέων καὶ Ἀθηναίων, καὶ τὸ Ἀρκάδων ὁπλιτικὸν, καὶ τὴν Θετταλῶν ἵππον, καὶ τοὺς Ἠλείων ἀκοντιστὰς, καὶ τὸ Μαντινέων πελταστικόν. ἢ Θρᾷκας, ἢ Ἰλλυριοὺς, ἢ καὶ Παίονας χειρώσασθαι, ταῦτα μεγάλα; Μήδων δὲ, καὶ Περσῶν, καὶ Χαλδαίων, καὶ χρυσοφόρων

ἀνθρώπων, καὶ ἁβρῶν, οὐκ οἶσθα ὡς πρὸ σοῦ μύριοι μετὰ Κλεάρχου ἀνελθόντες, ἐκράτησαν, οὐδ' εἰς χεῖρας ὑπομεινάντων ἐλθεῖν ἐκείνων, ἀλλὰ πρὶν ἢ τόξευμα ἐξικνεῖσθαι, φυγόντων; ΑΛΕ. ἀλλ' οἱ Σκύθαι γε ὦ πάτερ, καὶ οἱ Ἰνδῶν ἐλέφαντες, οὐκ εὐκαταφρόνητόν τι ἔργον. καὶ ὅμως οὐ διαστήσας αὐτοὺς, οὐδὲ προδοσίαις ὠνούμενος τὰς νίκας, ἐκράτουν αὐτῶν. οὐδ' ἐπιώρκησα πώποτε, ἢ ὑποσχόμενος ἐψευσάμην, ἢ ἄπιστον ἔπραξά τι τοῦ νικᾶν ἕνεκα. καὶ τοὺς Ἕλληνας δὲ, τοὺς μὲν ἀναιμωτὶ παρέλαβον. Θηβαίους δὲ ἴσως ἀκούεις ὅπως μετῆλθον. ΦΙ. οἶδα ταῦτα πάντα. Κλεῖτος γὰρ ἀπήγγελλέ μοι, ὃν σὺ τῷ δορατίῳ διελάσας μεταξὺ δειπνοῦντα, ἐφόνευσας, ὅτι με πρὸς τὰς σὰς πράξεις ἐπαινέσαι ἐτόλμησε. σὺ δὲ καὶ τὴν Μακεδονικὴν χλαμύδα καταβαλὼν, κάνδυν ὥς φασι μετενέδυς, καὶ τιάραν ὀρθὴν ἐπέθου, καὶ προσκυνεῖσθαι ὑπὸ Μακεδόνων, ὑπ' ἐλευθέρων ἀνδρῶν ἠξίους. καὶ τὸ πάντων γελοιότατον, ἐμιμοῦ τὰ τῶν νενικημένων. ἐῶ γὰρ λέγειν ὅσα ἄλλα ἔπραξας, λέουσι συγκατακλείων πεπαιδευμένους ἄνδρας, καὶ γάμους τοιούτους γαμῶν, καὶ Ἡφαιστίωνα ὑπεραγαπῶν. ἓν ἐπῄνεσα μόνον ἀκούσας, ὅτι ἀπέσχου τῆς τοῦ Δαρείου γυναικὸς καλῆς οὔσης, καὶ τῆς μητρὸς αὐτοῦ, καὶ τῶν θυγατέρων ἐπεμελήθης. βασιλικὰ γὰρ ταῦτα. ΑΛΕ.

τὸ

τὸ φιλοκίνδυνον δὲ ὦ πάτερ οὐκ ἐπαινεῖς, καὶ τὸ
ἐν Ὀξυδράκαις πρῶτον καθάλλεσθαι εἰς τὸ ἐντὸς
τοῦ τείχους, καὶ τοσαῦτα λαβεῖν τραύματα; ΦΙ.
οὐκ ἐπαινῶ τοῦτο ὦ Ἀλέξανδρε. οὐχ ὅτι μὴ κα-
λὸν εἶναι οἶμαι καὶ τιτρώσκεσθαι ποτὲ τὸν βα-
σιλέα, καὶ προκινδυνεύειν τοῦ στρατοῦ, ἀλλ' ὅτι
σοι τοιοῦτο ἥκιστα συνέφερε. θεὸς γὰρ εἶναι δο-
κῶν, εἴ ποτε τρωθείης, καὶ βλέποιέν σε φοράδ-
ην τοῦ πολέμου ἐκκομιζόμενον, αἵματι ῥεόμενον,
οἰμώζοντα ἐπὶ τῷ τραύματι, ταῦτα γέλως ἦν
τοῖς ὁρῶσι. καὶ ὁ Ἄμμων, γόης, καὶ ψευδόμαντις
ἠλέγχετο. καὶ οἱ προφῆται, κόλακες. ἢ τίς οὐκ
ἂν ἐγέλασεν, ὁρῶν τὸν τοῦ Διὸς υἱὸν λειποψυχοῦν-
τα, δεόμενον τῶν ἰατρῶν βοηθεῖν; νῦν μὲν γὰρ
ὁπότε ἤδη τέθνηκας, οὐκ οἴει πολλοὺς εἶναι τοὺς
τὴν προσποίησιν ἐκείνην ἐπικερτομοῦντας, ὁ-
ρῶντας τὸν νεκρὸν τοῦ θεοῦ ἐκτάδην κείμενον,
μυδῶντα ἤδη καὶ ἐξῳδηκότα, κατὰ νόμον σω-
μάτων ἁπάντων; ἄλλως τε, καὶ τὸ χρήσιμον ὃ
ἔφης Ἀλέξανδρε, τὸ διὰ τοῦτο κρατεῖν ῥᾳδίως,
πολύ σε τῆς δόξης ἀφῃρεῖτο τῶν κατορθουμένων.
πᾶν γὰρ ἐδόκει ἐνδεὲς ὑπὸ θεοῦ γίνεσθαι δο-
κοῦν. ΑΛΕ. οὐ ταῦτα φρονοῦσιν οἱ ἄνθρωποι
περὶ ἐμοῦ, ἀλλ' Ἡρακλεῖ καὶ Διονύσῳ ἐνάμιλ-
λον τιθέασί με. καίτοι τὴν Ἄορνον ἐκείνην οὐδ'
ἑτέρου ἐκείνων λαβόντος, ἐγὼ μόνος ἐχειρωσάμην.

Φι. ὁρᾷς ὅτι ταῦτα ὡς υἱὸς Ἄμμωνος λέγεις, ὃς Ἡρακλεῖ καὶ Διονύσῳ παραβάλλεις σεαυτόν, καὶ οὐκ αἰσχύνῃ ὦ Ἀλέξανδρε, οὐδὲ τὸν τύφον ἀπομαθήσῃ, καὶ γνώσῃ σεαυτόν, καὶ συνήσεις ἤδη νεκρὸς ὤν;

## ΑΧΙΛΛΕΩΣ ΚΑΙ ΑΝΤΙΛΟΧΟΥ.

Οἷα πρώην Ἀχιλλεῦ πρὸς τὸν Ὀδυσσέα σοι εἴρηται περὶ τοῦ θανάτου, ὡς ἀγεννῆ καὶ ἀνάξια τοῖν διδασκάλοιν ἀμφοῖν, Χείρωνός τε καὶ Φοίνικος. ἠκροώμην γὰρ ὁπότε ἔφης βούλεσθαι ἐπάρουρος ὤν, θητεύειν παρά τινι τῶν ἀκλήρων, ᾧ μὴ βίοτος πολὺς εἴη μᾶλλον, ἢ πάντων ἀνάσσειν τῶν νεκρῶν. ταῦτα μὲν οὖν ἀγεννῆ τινα Φρύγα δειλόν, καὶ πέρα τοῦ καλῶς ἔχοντος φιλόζωον ἴσως ἐχρῆν λέγειν. τὸν Πηλέως δὲ υἱόν, τὸν φιλοκινδυνότατον ἡρώων ἁπάντων, ταπεινὰ οὕτω περὶ αὑτοῦ διανοεῖσθαι, πολλὴ αἰσχύνη, καὶ ἐναντιότης πρὸς τὰ πεπραγμένα σοι ἐν τῷ βίῳ. ὃς ἐξὸν ἀκλεῶς ἐν τῇ Φθιώτιδι πολυχρόνιον βασιλεύειν, ἑκὼν προείλου τὸν μετὰ τῆς ἀγαθῆς δόξης θάνατον.

Αχι. ὦ παῖ Νέστορος, ἀλλὰ τότε μὲν ἄπειρος ἔτι τῶν ἐνταῦθα ὤν, καὶ τὸ βέλτιον ἐκείνων ὁπότερον ἦν ἀγνοῶν, τὸ δύστηνον ἐκεῖνο δοξάριον προετίμων τοῦ βίου. νῦν δὲ συνίημι ἤδη, ὡς ἐκείνη μὲν ἀνωφελής, εἰ καὶ ὅτι μάλιστα οἱ ἄνω ῥαψῳδήσουσι. μετὰ νεκρῶν δὲ, ὁμοτιμία. καὶ οὔτε τὸ κάλλος ἐκεῖνο ὦ Ἀντίλοχε, οὔτε ἡ ἰσχὺς πάρεστιν, ἀλλὰ

κείμεθα

κείμεθα ἅπαντες ὑπὸ τῷ αὐτῷ ζόφῳ ὅμοιοι, καὶ κατ' οὐδὲν ἀλλήλων διαφέροντες. καὶ οὔτε οἱ τῶν Τρώων νεκροὶ δεδίασί με, οὔτε οἱ τῶν Ἀχαιῶν θεραπεύουσιν. ἰσηγορία δὲ ἀκριβὴς, καὶ νεκρὸς ὅμοιος, ἢ μὴ κακὸς, ἢ δὲ καὶ ἐσθλός. ταῦτά με ἀνιᾷ, καὶ ἄχθομαι, ὅτι μὴ θητεύω ζῶν. Αντι. ὅμως τί οὖν ἄν τις πάθοι ὦ Ἀχιλλεῦ; ταῦτα γὰρ ἔδοξε τῇ φύσει, πάντως ἀποθνήσκειν ἅπαντας. ὥστε χρὴ ἐμμένειν τῷ νόμῳ, καὶ μὴ ἀνιᾶσθαι τοῖς διατεταγμένοις. ἄλλως τε, ὁρᾷς τῶν ἑταίρων ὅσοι περὶ σὲ ἐσμὲν οἵδε; μετὰ μικρὸν δὲ καὶ Ὀδυσσεὺς ἀφίξεται πάντως. φέρει δὲ παραμυθίαν καὶ ἡ κοινωνία τοῦ πράγματος, καὶ τὸ μὴ μόνον αὐτὸν πεπονθέναι. ὁρᾷς τὸν Ἡρακλέα, καὶ τὸν Μελέαγρον, καὶ ἄλλους θαυμαστοὺς ἄνδρας, οἳ οὐκ ἂν οἶμαι δέξαιντο ἀνελθεῖν, εἴ τις αὐτοὺς ἀναπέμψειε θητεύσοντας ἀκλήροις καὶ ἀβίοις ἀνδράσιν;

Αχι. ἑταιρικὴ μὲν ἡ παραίνεσις. ἐμὲ δὲ οὐκ οἶδ' ὅπως ἡ μνήμη τῶν παρὰ τὸν βίον ἀνιᾷ. οἶμαι δὲ καὶ ὑμῶν ἕκαστον. εἰ δὲ μὴ ὁμολογεῖτε, ταύτῃ χείρους ἐστὲ, καθ' ἡσυχίαν αὐτὸ πάσχοντες. Αντι. οὐκ. ἀλλ' ἀμείνους ὦ Ἀχιλλεῦ. τὸ γὰρ ἀνωφελὲς τοῦ λέγειν ὁρῶμεν. σιωπᾶν γὰρ, καὶ φέρειν, καὶ ἀνέχεσθαι, δέδοκται ἡμῖν, μὴ καὶ γέλωτα ὄφλωμεν ὥσπερ σὺ, τοιαῦτα εὐχόμενοι.

# ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΗΡΑΚΛΕΟΥΣ.

Οὐχ Ἡρακλῆς οὗτός ἐστιν; οὐ μὲν οὖν ἄλλος μὰ τὸν Ἡρακλέα. τὸ τόξον, τὸ ῥόπαλον, ἡ λεοντῆ, τὸ μέγεθος, ὅλος, Ἡρακλῆς ἐστιν. εἶτα τέθνηκε Διὸς υἱὸς ὤν; εἰπέ μοι ὦ καλλίνικε, νεκρὸς εἶ; ἐγὼ γάρ σοι ἔθυον ὑπὲρ γῆς, ὡς θεῷ. Ἡρα. καὶ ὀρθῶς ἔθυες. αὐτὸς μὲν γὰρ ὁ Ἡρακλῆς ἐν οὐρανῷ τοῖς θεοῖς σύνεστι, καὶ ἔχει καλλίσφυρον Ἥβην. ἐγὼ δ' εἴδωλόν εἰμι αὐτοῦ. Διο. πῶς λέγεις εἴδωλον τοῦ θεοῦ; καὶ δυνατὸν ἐξ ἡμισείας μέν τινα θεὸν εἶναι, τεθνάναι δὲ τῷ ἡμίσει; Ἡρα. ναί. οὐ γὰρ ἐκεῖνος τέθνηκεν, ἀλλ' ἐγὼ ἡ εἰκὼν αὐτοῦ. Διο. μανθάνω. ἀντανδρόν σε τῷ Πλούτωνι παρέδωκεν ἀνθ' ἑαυτοῦ. καὶ σὺ νῦν ἀντ' ἐκείνου νεκρὸς εἶ. Ἡρα. τοιοῦτό τι. Διο. πῶς οὖν ἀκριβὴς ὢν ὁ Αἰακός, οὐκ ἔγνω σε μὴ ὄντα ἐκεῖνον, ἀλλὰ παρεδέξατο ὑποβολιμαῖον Ἡρακλέα παρόντα; Ἡρα. ὅτι ἐώκειν ἀκριβῶς. Διο. ἀληθῆ λέγεις. ἀκριβῶς γάρ, ὥστε αὐτὸς ἐκεῖνος εἶναι. ὅρα γοῦν μὴ τὸ ἐναντίον ἐστί. σὺ μὲν εἶ ὁ Ἡρακλῆς, τὸ δὲ εἴδωλον γεγάμηκε τὴν Ἥβην ἐν τοῖς θεοῖς. Ἡρα. θρασὺς εἶ, καὶ λάλος. καὶ εἰ μὴ παύσῃ σκώπτων με, εἴσῃ αὐτίκα οἵου θεοῦ εἴδωλόν εἰμι. Διο. τὸ μὲν τόξον γυμνόν, καὶ πρόχειρον. ἐγὼ δέ, τί ἂν ἔτι φοβοίμην σε, ἅπαξ τεθνεώς; ἀτὰρ εἰπέ μοι πρὸς τοῦ σοῦ Ἡρακλέους, ὁπότε ἐκεῖνος

ἔζη, συνῆς αὐτῷ, καὶ τότε εἴδωλον ὤν; ἢ εἷς μὲν ἦτε περὶ τὸν βίον, ἐπεὶ δ' ἀπεθάνετε, διαιρεθέντων, ὁ μὲν ἐς θεοὺς ἀπέπτατο, σὺ δὲ τὸ εἴδωλον, ὥσπερ εἰκὸς ἦν, εἰς ᾅδου πάρει; Ηρα. ἐχρῆν μὲν μηδ' ἀποκρίνεσθαι πρὸς ἄνδρα ἐπίτηδες ἐρεσχελοῦντα. ὅμως δ' οὖν καὶ τοῦτ' ἄκουσον. ὁπόσον μὲν Ἀμφιτρύωνος ἐν τῷ Ἡρακλεῖ ἦν, τοῦτο τέθνηκε, καί εἰμι ἐγὼ ἐκεῖνο πᾶν. ὃ δὲ ἦν τοῦ Διός, ἐν οὐρανῷ σύνεστι τοῖς θεοῖς. Διο. σαφῶς νῦν μανθάνω. δύο γάρ φῄς ἔτεκεν ἡ Ἀλκμήνη κατὰ τὸ αὐτὸ Ἡρακλέας, τὸν μὲν ὑπ' Ἀμφιτρύωνι, τὸν δὲ παρὰ τοῦ Διός. ὥστε ἐλελήθειτε δίδυμοι ὄντες ὁμομήτριοι. Ηρα. οὐκ ὦ μάταιε. ὁ γὰρ αὐτὸς ἄμφω ἦμεν. Διο. οὐκ ἔστι μαθεῖν τοῦτο ῥᾴδιον, συνθέτους δύ' ὄντας Ἡρακλέας, ἐκτὸς εἰ μὴ ὥσπερ ἱπποκένταυρός τις ἦτε, εἰς ἓν συμπεφυκότες, ἄνθρωπος καὶ θεός. Ηρα. οὐ γὰρ καὶ πάντες οὕτω σοι δοκοῦσι συγκεῖσθαι ἐκ δυεῖν, ψυχῆς καὶ σώματος; ὥστε τί τὸ κωλῦον ἐστὶ, τὴν μὲν ψυχὴν ἐν οὐρανῷ εἶναι, ἥπερ ἦν ἐκ Διός, τὸ δὲ θνητὸν ἐμὲ, παρὰ τοῖς νεκροῖς; Διο. ἀλλ' ὦ βέλτιστε Ἀμφιτρυωνιάδη, καλῶς ἂν ταῦτ' ἔλεγες, εἰ σῶμα ἦσθα, νῦν δὲ ἀσώματον εἴδωλον εἶ. ὥστε κινδυνεύεις τριπλοῦν ἤδη ποιῆσαι τὸν Ἡρακλέα. Ηρα. πῶς τριπλοῦν; Διο. ὧδέ πως. εἰ γὰρ ὁ μέν τις ἐν οὐρανῷ, ὁ δὲ παρ' ἡμῖν σὺ τὸ εἴδωλον, τὸ δὲ σῶμα

ἐν

γοῦν οἱ τηλικοῦτοι ἤδη γιγνόμενοι, τρία δὴ ταῦτα γίνεται. καὶ σκόπει ὅν τινα δὴ πατέρα τρίτον ἐπινοήσεις τὸ σῶμα. Ηρα. θρασύς τις εἶ, καὶ σοφιστής. τίς δὲ καὶ ὢν τυγχάνεις; Διο. Διογένους τοῦ σινωπέως εἴδωλον. αὐτὸς δὲ, οὐ μὰ Δία μετ' ἀθανάτοισι θεοῖσιν, ἀλλὰ τοῖς βελτίστοις νεκρῶν σύνειμι, Ομήρου, καὶ τῆς τοσαύτης ψυχρολογίας καταγελῶν.

## ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΤΑΝΤΑΛΟΥ.

Τι κλάεις ὦ Τάνταλε; ἢ τί σεαυτὸν ὀδύρῃ, ἐπὶ τῇ λίμνῃ ἑστώς; Ταν. ὅτι ὦ Μένιππε, ἀπόλωλα ὑπὸ τοῦ δίψους. Με. οὕτως ἀργὸς εἶ, ὡς μὴ ἐπικύψας πιεῖν, ἢ καὶ νὴ Δί' ἀρυσάμενος κοίλῃ τῇ χειρί; Ταν. οὐδὲν ὄφελος εἰ ἐπικύψαιμι. φεύγει γὰρ τὸ ὕδωρ, ἐπειδὰν προσιόντα αἴσθηταί με. ἢν δέ ποτε καὶ ἀρύσαιμι, καὶ προσενέγκω τὸ στόμα, οὐ φθάνω βρέξας ἄκρον τὸ χεῖλος. καὶ διὰ τῶν δακτύλων διαῤῥυὲν, οὐκ οἶδ' ὅπως αὖθις ἀπολείπει ξηρὰν τὴν χεῖρά μου. Με. τεράστιον τι πάσχεις ὦ Τάνταλε. ἀτὰρ εἰπέ μοι, τί γὰρ καὶ δέῃ τοῦ πιεῖν; οὐ γὰρ σῶμα ἔχεις. ἀλλ' ἐκεῖνο μὲν ἐν Λυδίᾳ που τέθαπται, ὅπερ καὶ πεινῆν καὶ διψῆν ἐδύνατο. σὺ δὲ ἡ ψυχὴ, πῶς ἂν ἔτι ἢ διψῴης, ἢ πίνοις; Ταν. τοῦτ' αὐτὸ ἡ κόλασίς ἐστι, τὸ διψῆν μου τὴν ψυχὴν ὡς σῶμα οὖσαν. Με. ἀλλὰ τοῦτο μὲν οὕτω πιστεύσομεν, ἐπεὶ

φὴς ὑπὸ δίψει κολάζεσθαι. τί δ' οὖν σοι τὸ δεινὸν ἔσται; ἢ δέδιας μὴ ἐνδείᾳ τοῦ ποτοῦ ἀποθάνῃς; οὐχ ὁρῶ γὰρ ἄλλον μετὰ τοῦτον ᾅδην, ἢ θάνατον ἐντεῦθεν εἰς ἕτερον τόπον. Ταν. ὀρθῶς μὲν λέγεις. καὶ τοῦτο δ' οὖν μέρος τῆς καταδίκης, τὸ ἐπιθυμεῖν πιεῖν, μηδὲν δεόμενον. Με. ληρεῖς ὦ Τάνταλε, καὶ ὡς ἀληθῶς ποτοῦ δεῖσθαι δοκεῖς, ἀκράτου γε ἐλλεβόρου νὴ Δία. ὅστις τοὐναντίον τοῖς ὑπὸ τῶν λυττώντων κυνῶν δεδηγμένοις πέπονθας, οὐ τὸ ὕδωρ, ἀλλὰ τὴν δίψαν πεφοβημένος. Ταν. οὐδὲ τὸν ἐλλέβορον ὦ Μένιππε ἀναίνομαι πιεῖν, γένοιτό μοι μόνον. Με. θάρρει ὦ Τάνταλε, ὡς οὔτε σὺ, οὔτε ἄλλος πίεται τῶν νεκρῶν. ἀδύνατον γάρ. καίτοι οὐ πάντες ὥσπερ σὺ ἐκ καταδίκης διψῶσι, τοῦ ὕδατος αὐτοὺς οὐχ ὑπομένοντος.

## ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΕΡΜΟΥ.

Ποῦ δὲ οἱ καλοί εἰσιν, ἢ αἱ καλαὶ ὦ Ἑρμῆ; ξενάγησόν με νέηλυν ὄντα. Ερ. οὐ σχολὴ μὲν ὦ Μένιππε. πλὴν κατ' ἐκεῖνο αὐτὸ ἀπόβλεψον, ὡς ἐπὶ τὰ δεξιά, ἔνθα Ὑάκινθός τέ ἐστι, καὶ ὁ Νάρκισσος, καὶ Νιρεὺς, καὶ Ἀχιλλεὺς, καὶ Τυρὼ, καὶ Ἑλένη, καὶ Λήδα, καὶ ὅλως τὰ ἀρχαῖα κάλλη πάντα. Με. ὀστᾶ μόνον ὁρῶ, καὶ κρανία, τῶν σαρκῶν γυμνὰ, ὅμοια τὰ πολλά. Ερ. καὶ μὴν ἐκεῖνα ἐστὶν, ἃ πάντες οἱ ποιηταὶ θαυμάζουσι τὰ

ὀστᾶ, ὧν σὺ ἔοικας, καταφρονεῖν. Με. ὅμως τὴν Ἑλένην μοι δεῖξον. οὐ γὰρ ἂν διαγνοίην ἔγωγε. Ερ. τουτὶ τὸ κρανίον ἡ Ἑλένη ἐστίν. Με. εἶτα αἱ χίλιαι νῆες διὰ τοῦτο ἐπληρώθησαν ἐξ ἁπάσης τῆς Ἑλλάδος, καὶ τοσοῦτοι ἔπεσον Ἕλληνές τε καὶ βάρβαροι, καὶ τοσαῦται πόλεις ἀνάστατοι γεγόνασιν; Ερ. ἀλλ' οὐκ εἶδες ὦ Μένιππε ζῶσαν τὴν γυναῖκα. ἔφης γὰρ ἂν καὶ σὺ ἀνεμέσητον εἶναι, τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν. ἐπεὶ καὶ τὰ ἄνθη ξηρὰ ὄντα, εἴ τις βλέποι ἀποβεβληκότα τὴν βαφὴν, ἄμορφα δηλονότι αὐτῷ δόξει. ὅτε μὲν τοι ἀνθεῖ, καὶ ἔχει τὴν χροιὰν, κάλλιστά ἐστιν. Με. οὐκοῦν τοῦτο ὦ Ἑρμῆ θαυμάζω, εἰ μὴ συνίεσαν οἱ Ἀχαιοὶ περὶ πράγματος οὕτως ὀλιγοχρονίου, καὶ ῥᾳδίως ἀπανθοῦντος πονοῦντες.

Ερ. οὐ σχολή μοι ὦ Μένιππε, συμφιλοσοφεῖν σοι. ὥστε σὺ μὲν ἐπιλεξάμενος τόπον, ἔνθα ἂν ἐθέλῃς, κεῖσο καταβαλὼν σεαυτόν. ἐγὼ δὲ, τοὺς ἄλλους νεκροὺς ἤδη μετελεύσομαι.

## ΑΙΑΚΟΥ, ΠΡΩΤΕΣΙΛΑΟΥ, ΜΕΝΕΛΑΟΥ, ΚΑΙ ΠΑΡΙΔΟΣ. Αἰ.

Τι ἄγχεις ὦ Πρωτεσίλαε τὴν Ἑλένην προσπεσών; Πρω. ὅτι διὰ ταύτην ὦ Αἰακὲ ἀπέθανον, ἡμιτελῆ μὲν τὸν δόμον καταλιπὼν, χήραν τε τὴν νεόγαμον γυναῖκα. Αἰ. αἰτιῶ τοίνυν τὸν Μενέλαον, ὅστις ὑμᾶς ὑπὲρ τοιαύτης γυναικὸς

ἐπὶ

ἐπὶ Τροίαν ἤγαγον. Πρω. εὖ λέγεις. ἐκεῖνόν μοι αἰτιατέον. Μενέ. οὐκ ἐμὲ ὦ βέλτιστε, ἀλλὰ δικαιότερον τὸν Πάριν, ὃς ἐμοῦ τοῦ ξένου τὴν γυναῖκα παρὰ πάντα τὰ δίκαια ᾤχετο ἁρπάσας. οὗτος γὰρ οὐχ ὑπὸ σοῦ μόνου, ἀλλ' ὑπὸ πάντων Ἑλλήνων τε καὶ βαρβάρων ἄξιος ἄγχεσθαι, τοσούτοις θανάτου αἴτιος γεγενημένος. Πρω. ἄμεινον οὕτω. σὲ τοιγαροῦν ὦ Δύσπαρι, οὐκ ἀφήσω ποτὲ ἀπὸ τῶν χειρῶν. Πά. ἄδικα ποιῶν ὦ Πρωτεσίλαε. καὶ ταῦτα, ὁμότεχνον ὄντα σοι. ἐρωτικὸς γὰρ καὶ αὐτός εἰμι, καὶ τῷ αὐτῷ θεῷ κατέχομαι. οἶσθα δὲ ὡς ἀκούσιόν τί ἐστι, καί τις ἡμᾶς δαίμων ἄγει ἔνθα ἂν ἐθέλῃ. καὶ ἀδύνατόν ἐστιν ἀντιτάττεσθαι αὐτῷ. Πρω. εὖ λέγεις. εἴθε οὖν μοι τὸν ἔρωτα ἐνταῦθα λαβεῖν δυνατὸν ἦν. Αἰ. ἐγώ σοι καὶ περὶ τοῦ ἔρωτος ἀποκρινοῦμαι τὰ δίκαια. φήσει γὰρ αὐτὸς μὲν, τοῦ ἐρᾶν τῷ Πάριδι ἴσως γεγενῆσθαι αἴτιος. τοῦ θανάτου δέ σοι, οὐδένα ἄλλον ὦ Πρωτεσίλαε, ἢ σεαυτόν. ὃς ἐκλαθόμενος τῆς νεογάμου γυναικός, ἐπεὶ προσεφέρεσθε τῇ Τρῳάδι, οὕτω φιλοκινδύνως καὶ ἀπονενοημένως προεπήδησας τῶν ἄλλων, δόξης ἐρασθείς, δι' ἣν πρῶτος ἐν τῇ ἀποβάσει ἀπέθανες. Πρω. οὐκοῦν καὶ ὑπὲρ ἐμαυτοῦ σοι ὦ Αἰακὲ ἀποκρινοῦμαι δικαιότερα. οὐ γὰρ ἐγὼ τούτων αἴτιος, ἀλλ' ἡ μοῖρα, καὶ τὸ ἐξ ἀρχῆς οὕτως ἐπικεκλῶσθαι. Αἰ. ὀρθῶς. τί οὖν τούτους αἰτιᾷ;

## ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΑΙΑΚΟΥ.

Πρὸς τοῦ Πλούτωνος ὦ Αἰακὲ, περιήγησαί μοι τὰ ἐν ᾅδου πάντα. Αἰ. οὐ ῥᾴδιον ὦ Μένιππε ἅπαντα. ὅσα μέντοι κεφαλαιώδη, μάνθανε. οὑτοσὶ μὲν, ὅτι Κέρβερός ἐστιν, οἶσθα. καὶ τὸν πορθμέα τοῦτον, ὅς σε διεπέρασε, καὶ τὴν λίμνην, καὶ τὸν Πυριφλεγέθοντα ἤδη ἑώρακας εἰσιών. Μέ. οἶδα ταῦτα, καὶ σὲ, ὅτι πυλωρεῖς. καὶ τὸν βασιλέα εἶδον, καὶ τὰς Ἐριννῦς. τοὺς δ' ἀνθρώπους μοι τοὺς πάλαι δεῖξον, καὶ μάλιστα τοὺς ἐπισήμους αὐτῶν. Αἰ. οὗτος μὲν Ἀγαμέμνων, οὗτος δ' Ἀχιλλεὺς, οὗτος δὲ Ἰδομενεὺς πλησίον. ἔπειτα Ὀδυσσεὺς, εἶτα Αἴας, καὶ Διομήδης, καὶ οἱ ἄριστοι τῶν Ἑλλήνων. Μέ. βαβαὶ Ὅμηρε, οἷά σοι τῶν ῥαψῳδιῶν τὰ κεφάλαια χαμαὶ ἔρριπται, ἄγνωστα, καὶ ἄμορφα, κόνις πάντα, καὶ λῆρος πολὺς, ἀμενηνὰ ὡς ἀληθῶς κάρηνα. οὗτος δὲ ὦ Αἰακὲ, τίς ἐστι; Αἰ. Κῦρός ἐστιν. οὗτος δὲ Κροῖσος. ὁ δ' ὑπὲρ αὐτὸν, Σαρδανάπαλος. ὁ δ' ὑπὲρ τούτους, Μίδας. ἐκεῖνος δὲ, Ξέρξης. Μέ. εἶτα σὲ ὦ κάθαρμα ἡ Ἑλλὰς ἔφριττε, ζευγνῦντα μὲν τὸν Ἑλλήσποντον, διὰ δὲ τῶν ὀρῶν πλεῖν ἐπιθυμοῦντα; οἷος δὲ καὶ ὁ Κροῖσός ἐστιν; τὸν Σαρδανάπαλον δὲ ὦ Αἰακὲ, πατάξαι μοι κατὰ κόρρης ἐπίτρεψον. Αἰ. μηδαμῶς. διαθρύψεις γὰρ αὐτοῦ τὸ κρανίον, γυναικεῖον ὄν. Μέ. οὐκοῦν ἀλλὰ προσπτύσομαί γε

πάντως

πάντως ἀνδρογύνῳ ὄντι. Αἰ. Βούλει σοὶ ἐπιδείξω καὶ τοὺς σοφούς; Μένιπ. νὴ Δία γε. Αἰα. πρῶτος οὗτός σοι ὁ Πυθαγόρας ἐστί. Μένιπ. χαῖρε ὦ Εὔφορβε, ἢ Ἄπολλον, ἢ ὅ,τι ἂν ἐθέλῃς. Πυ. νὴ καὶ σύ γε ὦ Μένιππε. Μέ. οὐκέτι χρυσοῦς ὁ μηρός ἐστί σοι; Πυ. οὐ γάρ. ἀλλὰ φορὲ ἴδω, εἴ τι σοι ἐδώδιμον ἡ πήρα ἔχει. Με. κυάμους ὦ γαθέ. ὥστε οὐ τοῦτό σοι ἐδώδιμον. Πυ. δὸς μόνον, ἄλλα παρὰ νεκροῖς δόγματα. ἔμαθον γὰρ, ὡς οὐδὲν ἴσον κύαμοι, καὶ κεφαλαὶ τοκήων ἐνθάδε. Αἰ. οὗτος δὲ Σόλων ὁ Ἐξηκεστίδου, καὶ Θαλῆς ἐκεῖνος. καὶ παρ᾽ αὐτὸν, Πιττακὸς, καὶ οἱ ἄλλοι. ἑπτὰ δὲ πάντες εἰσὶν, ὡς ὁρᾷς. Μέ. ἄλυποι οὗτοι ὦ Αἰακὲ μόνοι, καὶ φαιδροὶ τῶν ἄλλων. ὁ δὲ σποδοῦ πλέως, ὥσπερ ἐγκρυφίας ἄρτος, ὁ ταῖς φλυκταίναις ὅλος ἐξηνθηκὼς, τίς ἐστιν; Αἰ. Ἐμπεδοκλῆς ὦ Μένιππε, ἡμίεφθος ἀπὸ τῆς Αἴτνης παρών. Μέ. ὦ χαλκόπου βέλτιστε, τί παθὼν σαυτὸν εἰς τοὺς κρατῆρας ἐνέβαλες; Εμ. μελαγχολία τις ὦ Μένιππε. Μέ. οὐ μὰ Δία, ἀλλὰ κενοδοξία, καὶ τῦφος, καὶ πολλὴ κόρυζα. ταῦτά σε ἀπηνθράκωσαν αὐταῖς κρηπῖσιν οὐκ ἄξιον ὄντα, πλὴν ἀλλ᾽ οὐδέν σε τὸ σόφισμα ὤνησεν. ἐφωράθης γὰρ τεθνεώς. ὁ Σωκράτης δὲ ὦ Αἰακὲ, ποῦ ποτε ἄρα ἐστί; Αἰ. μετὰ Νέστορος, καὶ Παλαμήδους ἐκεῖνος ληρεῖ τὰ πολλά. Μέ. ὅμως ἐβουλόμην ἰδεῖν αὐτὸν, εἴ που ἐνθά-

δεῖξιν. Αἰ. ὁρᾷς τὸν φαλακρόν; Μέ. ἅπαντες
φαλακροί εἰσιν. ὥστε πάντων ἂν εἴη τοῦτο τὸ γνώ-
ρισμα. Αἰ. τὸν σιμὸν λέγω. Μέ. καὶ τοῦθ᾽ ὅμοιον·
σιμοὶ γὰρ ἅπαντες. Σω. ἐμὲ ζητεῖς ὦ Μένιππε;
Μέν. καὶ μάλα ὦ Σώκρατες. Σω. τί τὰ ἐν Ἀθή-
ναις; Μέ. πολλοὶ τῶν νέων φιλοσοφεῖν λέγουσι. καὶ
τά γε σχήματα αὐτὰ, καὶ τὰ βαδίσματα εἰ θεά-
σαιτό τις, ἄκροι φιλόσοφοι. Σω. μάλα πολλοὺς
ἑώρακα. Μέ. τὰ δ᾽ ἄλλα ἑώρακας οἶμαι, οἷος
ἧκε παρὰ σοὶ Ἀρίστιππος, καὶ Πλάτων αὐτός·
ὁ μὲν ἀποπνέων μύρου, ὁ δὲ τοὺς ἐν Σικελίᾳ τυ-
ράννους θεραπεύειν ἐκμαθών. Σω. περὶ ἐμοῦ
δὲ τί φρονοῦσιν; Μέν. εὐδαίμων ὦ Σώκρατες
ἄνθρωπος εἶ. τά γε τοιαῦτα πάντες οὖν σε θαυ-
μάσιον οἴονται ἄνδρα γεγενῆσθαι, καὶ πάντα
ἐγνωκέναι ταῦτα. δεῖ γὰρ οἶμαι τἀληθῆ λέγειν,
οὐδὲν εἰδότα. Σω. καὶ αὐτὸς ἔφασκον ταῦτα
πρὸς αὐτούς. οἱ δὲ, εἰρωνείαν ᾤοντο τὸ πρᾶγμα
εἶναι. Μέν. τίνες δὲ οὗτοί εἰσιν οἱ περὶ σέ; Σω.
Χαρμίδης ὦ Μένιππε, καὶ Φαῖδρος, καὶ ὁ τοῦ
Κλεινίου. Μέν. εὖγε ὦ Σώκρατες, ὅτι κἀνταῦ-
θα μέτει τὴν σαυτοῦ τέχνην, καὶ οὐκ ὀλιγωρεῖς
τῶν καλῶν. Σω. τί γὰρ ἂν ἄλλο ἥδιον πράττοι-
μι; ἀλλὰ πλησίον ἡμῶν κατάκεισο, εἰ δοκεῖ.
Μέν. μὰ Δί᾽ ἐπεὶ τὸν Κροῖσον γὰρ καὶ Σαρδα-
νάπαλον ἄπειμι, πλησίον οἰκήσων αὐτῶν. ἔοι

κα

κα γοῦν οὐκ ὀλίγα γελᾶσθαι, οἰμωζόντων ἀκούων. Αἰ. κἀγὼ ἤδη ἄπειμι, μή τις ὑμᾶς νεκρῶν λάθῃ διαφυγών. τὰ πολλὰ δ' ἐσαῦθις ὄψει ὦ Μένιππε. Μέν. ἄπιθι. καὶ ταυτὶ γὰρ ἱκανὰ ὦ Αἰακέ.

## ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΚΕΡΒΕΡΟΥ.

Ὦ Κέρβερε, συγγενὴς γάρ εἰμί σοι, κύων καὶ αὐτὸς ὤν, εἰπέ μοι πρὸς τῆς Στυγός, οἷος ἦν ὁ Σωκράτης ὁπότε κατῄει πρὸς ὑμᾶς. εἰκὸς δέ σε θεὸν ὄντα, μὴ ὑλακτεῖν μόνον, ἀλλὰ καὶ ἀνθρωπικῶς φθέγγεσθαι ὁπότ' ἐθέλοις. Κέρ. πόρρωθεν μὲν ὦ Μένιππε, παντάπασιν ἐδόκει ἀτρέπτῳ προσώπῳ προσιέναι, καὶ οὐ πάνυ δεδιέναι τὸν θάνατον δοκῶν. καὶ τοῦτ' ἐμφῆναι τοῖς ἔξω τοῦ στομίου ἑστῶσιν ἐθέλων. ἐπεὶ δὲ κατέκυψεν εἴσω τοῦ χάσματος, καὶ εἶδε τὸν ζόφον, κἀγὼ ἔτι διαμέλλοντα αὐτὸν δακὼν τῷ κωνείῳ, κατέσπασα τοῦ ποδός, ὥσπερ τὰ βρέφη ἐκώκυε, καὶ τὰ ἑαυτοῦ παιδία ὠδύρετο, καὶ παντοῖος ἐγίγνετο. Μέ. οὐκοῦν σοφιστὴς ὁ ἄνθρωπος ἦν, καὶ οὐκ ἀληθῶς κατεφρόνει τοῦ πράγματος; Κέρ. οὐκ. ἀλλ' ἐπείπερ ἀναγκαῖον αὐτὸ ἑώρα, κατεθρασύνετο, ὡς δῆθεν οὐκ ἄκων πεισόμενος, ὃ πάντως ἔδει παθεῖν, ὡς θαυμάσωνται οἱ θεαταί. καὶ ὅλως, περὶ πάντων γε τῶν τοιούτων εἰπεῖν ἂν ἔχοιμι, ἕως τοῦ στομίου τολμηροί, καὶ ἀνδρεῖοι. τὰ δ' ἔνδοθεν, ἔλεγχος

ἀκριβῶς. Με. ἐγὼ δὲ πῶς σοι καταλελυκέναι ἔδοξα; Κόρ. μόνος ὦ Μένιππε ἀξίως τοῦ γένους, καὶ Διογένης πρὸ σοῦ, ὅτι μὴ ἀναγκαζόμενοι ἐσῄειτε, μὴ δ' ὠθούμενοι, ἀλλ' ἐθελούσιοι γελῶντες, οἰμώζειν παραγγείλαντες ἅπασιν.

## ΧΑΡΩΝΟΣ ΚΑΙ ΜΕΝΙΠΠΟΥ. ΧΑΡΩΝ.

Ἀπόδος ὦ κατάρατε τὰ πορθμεῖα. Με. βόα, εἰ τοῦτό σοι ἥδιον ὦ Χάρων. Χά. ἀπόδος φημὶ, ἀνθ' ὧν σε διεπορθμεύσαμεν. Με. οὐκ ἂν λάβοις παρὰ τοῦ μὴ ἔχοντος. Χά. ἔστι δέ τις ὀβολὸν μὴ ἔχων; Με. εἰ μὲν καὶ ἄλλος τις, οὐκ οἶδα. ἐγὼ δὲ, οὐκ ἔχω. Χά. καὶ μὴν ἄγξω σε νὴ τὸν Πλούτωνα ὦ μιαρὲ, ἢν μὴ ἀποδῷς. Με. κἀγὼ τῷ ξύλῳ σου πατάξας, διαλύσω τὸ κρανίον. Χά. μάτην οὖν ἔσῃ πεπλευκὼς τοσοῦτον πλοῦν. Με. ὁ Ἑρμῆς ὑπὲρ ἐμοῦ σοι ἀποδότω, ὅς με παρέδωκέ σοι. Ερ. νὴ Δία ὀναίμην, εἰ μέλλω γε καὶ ὑπερεκτίνειν τῶν νεκρῶν. Χά. οὐκ ἀποστήσομαί σου. Με. τούτου γε ἕνεκα νεωλκήσας τὸ πορθμεῖον, παράμενε. πλὴν ἀλλ' ὅ, γε μὴ ἔχω, πῶς ἂν λάβοις; Χά. σὺ δ' οὐκ ᾔδεις ὡς κομίζειν δέον; Με. ᾔδειν μὲν, οὐκ εἶχον δέ. τί οὖν, ἐχρῆν διὰ τοῦτο μὴ ἀποθανεῖν; Χα. μόνος οὖν αὐχήσεις προῖκα πεπλευκέναι; Με. οὐ προῖκα ὦ βέλτιστε. καὶ γὰρ ἤντλησα, καὶ τῆς κώπης ἐπελαβόμην, καὶ οὐκ

ἔκλαιον μόνος τῶν ἄλλων ἐπιβατῶν. Χά. οὐδὲν ταῦτα πρὸς τὰ πορθμία. τὸν ὀβολὸν ἀποδοῦναί σε δεῖ. οὐ γὰρ θέμις ἄλλως γενέσθαι. Μέ. οὐκοῦν ἀπάγαγέ με αὖθις ἐς τὸν βίον. Χά. χαρίεν λέγεις, ἵνα καὶ πληγὰς ἐπὶ τούτῳ παρὰ τοῦ Αἰακοῦ προσλάβω. Μέ. μὴ ἐνόχλει οὖν. Χά. δεῖξον τί ἐν τῇ πήρᾳ ἔχεις. Μέ. θέρμους εἰ θέλεις, καὶ τῆς Ἑκάτης τὸ δεῖπνον. Χά. πόθεν τοῦτον ἡμῖν ὦ Ἑρμῆ τὸν κύνα ἤγαγες; οἷα δὲ καὶ ἐλάλει παρὰ τὸν πλοῦν, τῶν ἐπιβατῶν ἁπάντων καταγελῶν, καὶ ἐπισκώπτων, καὶ μόνος ᾄδων, οἰμωζόντων ἐκείνων. Ερ. ἀγνοεῖς ὦ Χάρων, ὁποῖον ἄνδρα διεπόρθμευσας; ἐλεύθερον ἀκριβῶς, κοὐδ' ἑνὸς αὐτῷ μέλει. οὗτός ἐστιν ὁ Μένιππος. Χά. καὶ μὴν ἄν σε λάβω ποτέ; Μέ. ἂν λάβῃς ὦ βέλτιστε, δὶς δὲ οὐκ ἂν λάβοις.

## ΠΛΟΥΤΩΝΟΣ ΚΑΙ ΠΡΩΤΕΣΙΛΑΟΥ. ΠΛΟΥΤΩΝ.

Ὦ Δέσποτα, καὶ βασιλεῦ, καὶ ἡμέτερε Ζεῦ, καὶ σὺ Δήμητρος θύγατερ, μὴ ὑπερίδητε δέησιν ἐρωτικήν. Πλου. σὺ δὲ τίνος δέῃ παρ' ἡμῶν; ἢ τίς ὢν τυγχάνεις; Πρω. εἰμὶ μὲν Πρωτεσίλαος ὁ Ἰφίκλου φυλάκιος, συστρατιώτης τῶν Ἀχαιῶν, καὶ πρῶτος ἀποθανὼν τῶν ἐπ' Ἰλίῳ. δέομαι δὲ ἀφεθεὶς πρὸς ὀλίγον, ἀναβιῶναι πάλιν. Πλυ. τοῦτον μὲν τὸν ἔρωτα ὦ Πρωτεσί-

λαε, πάντες νεκροὶ ἐρῶσι. πλὴν οὐδεὶς ἂν αὐτῶν τύχῃ. Πρω. ἀλλ' οὐ τοῦ ζῆν Αἰδωνεῦ ἐρῶ ἔγωγε. τῆς γυναικὸς δὲ, ἣν νεόγαμον ἔτι ἐν τῷ θαλάμῳ καταλιπὼν, ᾠχόμην ἀποπλέων. εἶτα ὁ κακοδαίμων ἐν τῇ ἀποβάσει ἀπέθανον ὑπὸ τοῦ Ἕκτορος. ὁ οὖν ἔρως τῆς γυναικὸς, οὐ μετρίως ἀποκναίει με ὦ δέσποτα. καὶ βούλομαι κἂν πρὸς ὀλίγον ὀφθεὶς αὐτῇ καταβῆναι πάλιν. Πλου. οὐκ ἔπιες ὦ Πρωτεσίλαε τὸ Λήθης ὕδωρ; Πρω. καὶ μάλα ὦ δέσποτα. τὸ δὲ πρᾶγμα ὑπέρογκον ἦν. Πλου. οὐκοῦν περίμεινον. ἀφίξεται γὰρ ἐκείνη ποτὲ, καὶ οὐδὲ σὲ ἀνελθεῖν δεήσει. Πρω. ἀλλ' οὐ φέρω τὴν διατριβὴν ὦ Πλούτων. ἠράσθης δὲ καὶ αὐτὸς ἤδη, καὶ οἶσθα οἷον τὸ ἐρᾶν ἐστιν. Πλου. εἶτα τί σε ὀνήσει μίαν ἡμέραν ἀναβιῶναι, μετ' ὀλίγον τὰ αὐτὰ ὀδυρούμενον; Πρω. οἶμαι πείσειν κἀκείνην ἀκολουθεῖν παρ' ὑμᾶς. ὥστε ἀνθ' ἑνὸς δύο νεκροὺς λήψῃ μετ' ὀλίγον. Πλου. οὐ θέμις γενέσθαι ταῦτα. οὐδὲ ἐγένετο πώποτε. Πρω. ἀναμνήσω σε ὦ Πλούτων. Ὀρφεῖ γὰρ δι' αὐτὴν ταύτην τὴν αἰτίαν τὴν Εὐρυδίκην παρέδοτε, καὶ τὴν ὁμογενῆ μου Ἄλκηστιν παρεπέμψατε Ἡρακλεῖ χαριζόμενοι. Πλου. θελήσεις δὲ οὕτω κρανίον γυμνὸν ὢν, καὶ ἄμορφον, τῇ καλῇ σου ἐκείνῃ νύμφῃ φανῆναι; πῶς δὲ κἀκείνη προσήσεταί σε, οὐδὲ διαγνῶναι δυναμένη; φοβήσεται εὖ οἶδα, καὶ φεύξεταί σε. καὶ μάτην ἔσῃ τοσαύτην ὁδὸν ἀνεληλυθώς. Περ.

οὐκ ἦν ὁ ἀνήρ, σὺ καὶ τοῦτ' ἴασαι. καὶ τὸν Ἑρμῆν κέλευσον, ἐπειδὰν ἐν τῷ φωτὶ ἤδη ὁ Πρωτεσίλαος ᾖ, καθικόμενον ἐν τῇ ῥάβδῳ, νεανίαν εὐθὺς καλὸν ἀπεργάσασθαι αὐτόν, οἷος ἦν ἐκ τοῦ παστοῦ. Πλου. ἐπεὶ Περσεφόνη συνδοκεῖ, ἀναγαγὼν τοῦτον αὖθις, ποίει νυμφίον. σὺ δὲ μέμνησο, μίαν λαβὼν ἡμέραν.

## ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΜΑΥΣΩΛΟΥ.

Ὦ Κάρ, ἐπὶ τίνι μέγα φρονεῖς, καὶ πάντων ἡμῶν προτιμᾶσθαι ἀξιοῖς; Μα. καὶ ἐπὶ τῇ βασιλείᾳ μὲν ὦ σινωπεῦ, ὃς ἐβασίλευσα Καρίας μὲν ἁπάσης, ἦρξα δὲ καὶ Λυδῶν ἐνίων. καὶ νήσους δέ τινας ὑπηγαγόμην, καὶ ἄχρι Μιλήτου ἐπέβην, τὰ πολλὰ τῆς Ἰωνίας καταστρεφόμενος. καὶ καλὸς ἦν, καὶ μέγας, καὶ ἐν πολέμοις καρτερός. τὸ δὲ μέγιστον, ὅτι ἐν Ἁλικαρνασσῷ μνῆμα παμμέγεθες ἔχω ὑπερκείμενον, ἡλίκον οὐκ ἄλλος νεκρός, ἀλλ' οὐδὲ οὕτως ἐς κάλλος ἐξησκημένον, ἵππων καὶ ἀνδρῶν ἐς τὸ ἀκριβέστατον εἰκασμένων λίθου τοῦ καλλίστου, οἷον οὐδὲ νεὼν εὕροις ἂν ῥᾳδίως. οὐ δοκῶ σοι δικαίως ἐπὶ τούτοις μέγα φρονεῖν; Διο. ἐπὶ τῇ βασιλείᾳ φής, καὶ τῷ κάλλει, καὶ τῷ βάρει τοῦ τάφου; Μα. νὴ Δί' ἐπὶ τούτοις. Διο. ἀλλ' ὦ καλὲ Μαύσωλε, οὔτε ἡ ἰσχὺς ἔτι σοι ἐκείνη, οὔτε ἡ μορφὴ πάρεστιν. εἰ γοῦν τινα ἑλοίμεθα δικαστὴν εὐμορφίας πέρι, οὐκ ἔχω εἰπεῖν τίνος ἕνεκα τὸ σὸν κρανίον προτιμηθείη ἂν τοῦ ἐμοῦ. φαλακρὰ γὰρ ἄμφω, καὶ γυμνά. καὶ τοὺς ὀδόντας ὁμοίως

προφαινόμενοι, καὶ τοὺς ὀφθαλμοὺς ἀφῃρήμεθα, καὶ τὰς ῥῖνας ἀποσεσιμώμεθα. ὁ δὲ τάφος, καὶ οἱ πολυτελεῖς ἐκεῖνοι λίθοι, Ἀλικαρνασσεῦσι μὲν ἴσως εἶεν ἐπιδείκνυσθαι, καὶ φιλοτιμεῖσθαι πρὸς τοὺς ξένους, ὡς δή τι μέγα οἰκοδόμημα αὐτοῖς ἐστί. σὺ δὲ ὦ βέλτιστε, οὐχ ὁρῶ ὅ, τι ἀπολαύεις αὐτοῦ, πλὴν εἰ μὴ τοῦτο φῄς, ὅτι μᾶλλον ἡμῶν ἀχθοφορεῖς ὑπὸ τηλικούτοις λίθοις πιεζόμενος. Μαύ. ἀνόνητα οὖν μοι ἐκεῖνα πάντα. καὶ ἰσότιμος ἔσται Μαύσωλος, καὶ Διογένης. Διο. οὐκ ἰσότιμος ὦ γενναιότατε. οὐ γάρ. Μαύσωλος μὲν γὰρ οἰμώξεται, μεμνημένος τῶν ὑπὲρ γῆς, ἐν οἷς εὐδαιμονεῖν ᾤετο. Διογένης δὲ καταγελάσεται αὐτοῦ. καὶ τάφον ὁ μὲν ἐν Ἀλικαρνασσῷ ἐρεῖ ἑαυτοῦ ὑπὸ Ἀρτεμισίας τῆς γυναικὸς, καὶ ἀδελφῆς κατεσκευασμένον. ὁ Διογένης δὲ, τοῦ μὲν σώματος εἰ καί τινα τάφον ἔχει, οὐκ οἶδεν. οὐδὲ γὰρ ἔμελεν αὐτῷ τούτου. λόγον δὲ τοῖς ἀρίστοις περὶ αὐτοῦ καταλέλοιπεν, ἀνδρὸς βίον βεβιωκὼς ὑψηλότερον ὦ Καρῶν ἀνδραποδέστατε τοῦ σοῦ μνήματος, καὶ ἐν βεβαιοτέρῳ χωρίῳ κατεσκευασμένον.

## ΝΙΡΕΩΣ, ΘΕΡΣΙΤΟΥ, ΚΑΙ ΜΕΝΙΠΠΟΥ. ΝΙΡΕΥΣ.

Ἰδοὺ δὴ Μένιππος οὑτοσὶ δικάσει, πότερος εὐμορφότερός ἐστιν. εἰπὲ ὦ Μένιππε, οὐ καλλίων σοι δοκῶ; Μέ. τίνες δὲ καὶ ἐστὲ, πρότερον

οἶμαι.

οἶμαι. χρὴ γὰρ τοῦτο εἰδέναι. Νι. Νιρεὺς, καὶ Θερσίτης. Μέ. πότερος ὁ Νιρεὺς, καὶ πότερος οὖν ὁ Θερσίτης; οὐδέπω γὰρ τοῦτο δῆλον. Θερ. ἓν μὲν ἤδη τοῦτ' ἔχω, ὅτι ὅμοιός εἰμί σοι, καὶ οὐδὲν τηλικοῦτον διαφόρεις, ἡλίκον σε Ὅμηρος ἐκεῖνος ὁ τυφλὸς ἐπῄνεσεν, ἁπάντων εὐμορφότατον προσειπών. ἀλλ' ὁ φοξὸς ἐγὼ, καὶ ψεδνὸς, οὐδὲν χείρων ἐφάνην τῷ δικαστῇ. ὅρα δέ σοι ὦ Μένιππε, ὅν τινα καὶ εὐμορφότερον ἡγῇ. Νι. ἐμέ γε τὸν Ἀγλαΐας καὶ Χάροπος, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθον. Μέ. ἀλλ' οὐχὶ καὶ ὑπὸ γῆν ὡς οἶμαι κάλλιστος ἦλθες. ἀλλὰ τὰ μὲν ὀστᾶ, ὅμοια. τὸ δὲ κρανίον, ταύτῃ μόνον ἂν διακρίνοιτο ἀπὸ τοῦ Θερσίτου κρανίου, ὅτι εὔθρυπτον τὸ σόν. ἀλαπαδνὸν γὰρ αὐτὸ, καὶ οὐκ ἀνδρῶδες ἔχεις. Νι. καὶ μὴν ἐροῦ Ὅμηρον ὁποῖος ἦν, ὁπότε συνεστράτευον τοῖς Ἀχαιοῖς. Μέ. ὀνείρατά μοι λέγεις. ἐγὼ δὲ ἃ βλέπω, καὶ νῦν ἔχεις. ἐκεῖνα δὲ, οἱ τότε ἴσασιν. Νι. οὐκοῦν ἐγὼ ἐνταῦθα εὐμορφότερός εἰμι ὦ Μένιππε; Μέ. οὔτε σὺ, οὔτε ἄλλος εὔμορφος. ἰσοτιμία γὰρ ἐν ᾅδου, καὶ ὅμοιοι ἅπαντες. Θερ. ἐμοὶ μὲν καὶ τοῦτο ἱκανόν.

## ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΧΕΙΡΩΝΟΣ.

Ἤκουσα ὦ Χείρων, ὡς θεὸς ὤν, ἐπιθυμήσειας ἀποθανεῖν. Χεί. ἀληθῆ ταῦτ' ἤκουσας ὦ Μένιππε, καὶ τέθνηκα ὡς ὁρᾷς, ἀθάνατος εἶναι

δυνάμενος. Μέ. τίς δέ σε ἔρως τοῦ θανάτου ἔσχεν, ἀνέραστου τοῖς πολλοῖς χρήματος; Χέι. ἐρῶ πρὸς σὲ οὐκ ἀσύνετον ὄντα. οὐκ ἦν ἔτι ἡδὺ ἀπολαύειν τῆς ἀθανασίας. Μέ. οὐχ ἡδὺ ἦν, ζῶντα ὁρᾶν τὸ φῶς;

Χέι. οὐκ ὦ Μένιππε. τὸ γὰρ ἡδὺ, ἔγωγε ποικίλον τι καὶ οὐχ ἁπλοῦν ἡγοῦμαι εἶναι. ἐγὼ δὲ ζῶν ἀεί, καὶ ἀπολαύων τῶν ὁμοίων, ἡλίου, φωτὸς, τροφῆς, αἱ ὧραι δὲ αἱ αὐταὶ, καὶ τὰ γιγνόμενα ἅπαντα ἑξῆς ἕκαστον, ὥσπερ ἀκολουθοῦντα θάτερον θατέρῳ. ἐνεπλήσθην γοῦν αὐτῶν. οὐ γὰρ ἐν τῷ αὐτῷ ἀεί, ἀλλὰ καὶ ἐν τῷ μεταλαβεῖν ὅλως, τὸ τερπνὸν ἦν. Μέ. εὖ λέγεις ὦ Χείρων. τὰ ἐν ᾅδου δὲ πῶς φέρεις, ἀφ' οὗ προελόμενος αὐτὰ ἥκεις; Χέι. οὐκ ἀηδῶς ὦ Μένιππε. ἡ γὰρ ἰσοτιμία, πάνυ δημοτικὸν, καὶ τὸ πρᾶγμα οὐδὲν ἔχει τὸ διάφορον ἐν φωτὶ εἶναι, ἢ ἐν σκότῳ. ἄλλως τε, οὐδὲ διψῆν ὥσπερ ἄνω, οὔτε πεινῆν δεῖ, ἀλλ' ἀνεπιδεεῖς τούτων ἁπάντων ἐσμέν. Μέ. ὅρα ὦ Χείρων, μὴ περιπίπτῃς σεαυτῷ, καὶ εἰς τὸ αὐτό σοι ὁ λόγος περιστῇ. Χέι. πῶς τοῦτο φῄς;

Μέ. ὅτι εἰ τῶν ἐν τῷ βίῳ τὸ ὅμοιον ἀεὶ καὶ ταὐτὸ ἐγένετό σοι προσκορὲς, καὶ ἐνταῦθα ὅμοια ὄντα, προσκορῆ ὁμοίως ἂν γένοιτο, καὶ δεήσει μεταβολήν σε ζητεῖν τινα. καὶ ἐντεῦθεν εἰς ἄλλον βίον, ὅπερ οἶμαι ἀδύνατον. Χέι. τί οὖν ἂν πάθοι τις ὦ Μένιππε; Μέ. ὅπερ οἶμαι καὶ φασὶ, συνετὸν ὄντα, ἀρέσκεσθαι καὶ ἀγαπᾶν τοῖς παροῦσι, καὶ μηδὲν αὐτῶν ἀφόρητον οἴεσθαι.

ΔΙΟΓΕ

## ΔΙΟΓΕΝΟΥΣ, ΑΝΤΙΣΘΕΝΟΥΣ, ΚΑΙ ΚΡΑΤΗΤΟΣ.

Ἀντίσθενες, καὶ Κράτης, σχολὴν ἄγομεν. ὥστε τί οὐκ ἄπιμεν εὐθὺ τῆς καθόδου περιπατήσοντες, ὀψόμενοι τοὺς κατιόντας οἷοί τινές εἰσι, καὶ τί ἕκαστος αὐτῶν ποιεῖ; Αν. ἀπίωμεν ὦ Διόγενες. καὶ γὰρ ἂν τὸ θέαμα ἡδὺ γένοιτο, τοὺς μὲν δακρύοντας αὐτῶν ὁρᾶν, τοὺς δὲ ἱκετεύοντας ἀφεθῆναι. ἐνίους δὲ μόλις κατιόντας, καὶ ἐπὶ τράχηλον ὠθοῦντος τοῦ Ἑρμοῦ, ὅμως ἀντιβαίνοντας, καὶ ὑπτίους ἀντερείδοντας, οὐδὲν δέον. Κρά. ἔγωγ' οὖν καὶ διηγήσομαι ὑμῖν ἃ εἶδον ὁπότε κατῄειν κατὰ τὴν ὁδόν. Διο. διήγησαι ὦ Κράτης. ἔοικας γάρ τινα παγγέλοια ὁρᾶν. Κρά. καὶ ἄλλοι μὲν πολλοὶ συγκατέβαινον ἡμῖν. ἐν αὐτοῖς δ' ἐπίσημοι, Ἰσμηνόδωρός τε ὁ πλούσιος, ὁ ἡμέτερος, καὶ Ἀρσάκης ὁ Μηδίας ὕπαρχος, καὶ Ὀροίτης ὁ ἀρμένιος. ὁ μὲν οὖν Ἰσμηνόδωρος, ἐπεφόνευτο γὰρ ὑπὸ λῃστῶν παρὰ τὸν Κιθαιρῶνα, εἰς Ἐλευσῖνα οἶμαι βαδίζων, ἔστενέ τε, καὶ τὸ τραῦμα ἐν ταῖν χεροῖν εἶχε. καὶ τὰ παιδία τὰ νεογνά, ἃ καταλελοίπει, ἀνεκαλεῖτο, καὶ ἑαυτῷ ἐπεμέμφετο τῆς τόλμης. ὃς Κιθαιρῶνα ὑπερβάλλων, καὶ τὰ περὶ τὰς Ἐλευθερὰς χωρία πανέρημα ὄντα ὑπὸ τῶν πολέμων, διοδεύων, δύο μόνους οἰκέτας ἐπηγάγετο. καὶ ταῦτα, φιάλας πέντε χρυσᾶς, καὶ κυμβία τέτταρα μεθ' ἑαυτοῦ ἔχων.

ὁ δ᾽ Ἀρσάκης, γηραιὸς γὰρ ἤδη, καὶ νὴ Δί᾽ οὐκ ἄσεμνος τὴν ὄψιν ἐς τὸ βαρβαρικόν, ἤχθετο, καὶ ἠγανάκτει πεζὸς βαδίζων, καὶ ἠξίου τὸν ἵππον αὐτῷ προσαχθῆναι. καὶ γὰρ ὁ ἵππος αὐτῷ συντεθνήκει, μιᾷ πληγῇ ἀμφότεροι διαπαρέντες ὑπὸ Θρᾳκός τινος πελταστοῦ, ἐν τῇ ἐπὶ τῷ Ἀράξῃ πρὸς τὸν Καππαδόκην συμπλοκῇ. ὁ μὲν γὰρ Ἀρσάκης ἐπήλαυνεν, ὡς διηγεῖτο, πολὺ τῶν ἄλλων προϋπεξορμήσας. ὑποστὰς δὲ ὁ Θρᾷξ, τῇ πέλτῃ μὲν ὑποδὺς, ἀποσείεται τὸν Ἀρσάκου κοντόν. οὗτος δὲ ὑποθεὶς τὴν σάρισαν, αὐτόν τε διαπείρει, καὶ τὸν ἵππον. Αν. πῶς οἷόν τε ὦ Κράτης, μιᾷ πληγῇ τοῦτο γενέσθαι; Κρα. ῥᾷστα ὦ Ἀντίφιλε. ὁ μὲν γὰρ ἐπήλαυνεν, εἰκοσάπηχύν τινα κοντὸν προβεβλημένος. ὁ Θρᾷξ δὲ, ἐπειδὴ τῇ πέλτῃ ἀπεκρούσατο τὴν προσβολὴν, καὶ παρῆλθεν αὐτὸν ἡ ἀκωκὴ, ἐς γόνυ ὀκλάσας, δέχεται τῇ σαρίσῃ τὴν ἐπέλασιν, καὶ τιτρώσκει τὸν ἵππον ὑπὸ τὸ στέρνον, ὑπὸ θυμοῦ καὶ σφοδρότητος ἑαυτὸν διαπείραντα. διελαύνεται δὲ καὶ ὁ Ἀρσάκης ἐς τὸν βουβῶνα διαμπὰξ, ἄχρις ὑπὸ τὴν πυγήν. ὁρᾷς οἷόν τι ἐγένετο; οὐ τοῦ ἀνδρὸς, ἀλλὰ τοῦ ἵππου μᾶλλον τὸ ἔργον. ἠγανάκτει δὲ ὅμως, ὁμότιμος ὢν τοῖς ἄλλοις, καὶ ἠξίου ἱππεὺς καλεῖσθαι. ὁ δέ γε Οροίτης ὁ ἰδιώτης, καὶ πάνυ ἁπαλὸς τὼ πόδε, καὶ οὐδ᾽ ἑστάναι χαμαὶ, οὐχ ὅπως βαδί-

ζειν

ξειν ἐδύνατο. πάχυσι δ' αὐτὸ ἀτεχνῶς Μῆδοι ποιοῦσι, ἐπὴν ἀποβῶσι τῶν ἵππων, ὥσπερ οἱ ἐπὶ τῶν ἀκανθῶν ἐπιβαίνοντες ἀκροποδητί, μόλις βαδίζουσιν. ὥστε ἐπεὶ καταβαλὼν ἑαυτὸν, ἔκειτο, καὶ οὐδεμιᾷ μηχανῇ ἀνίστασθαι ἤθελεν, ὁ βέλτιστος Ἑρμῆς ἀράμενος αὐτὸν, ἐκόμισεν ἄχρι πρὸς τὸ πορθμεῖον. ἐγὼ δὲ ἐγέλων. Αν. κἀγὼ δὲ ὅτε κατῄειν, οὐδ' ἀνέμιξα ἐμαυτὸν τοῖς ἄλλοις. ἀλλ' ἀφεὶς οἰμώζοντας αὐτοὺς, προσδραμὼν ἐπὶ τὸ πορθμεῖον, προκατέλαβον χώραν, ὡς ἂν ἐπιτηδείως πλεύσαιμι. παρὰ τὸν πλοῦν δὲ, οἱ μὲν ἐδάκρυόν τε, καὶ ἐναυτίων. ἐγὼ δὲ, μάλα ἐτερπόμην ἐπ' αὐτοῖς. Διο. σὺ μὲν ὦ Κράτης, καὶ Ἀντίσθενες, τοιούτων ἐτύχετε ξυνοδοιπόρων. ἐμοὶ δὲ Βλεψίας τε ὁ δανειστὴς, ὁ ἐκ Πειραιῶς, καὶ Λάμπις ὁ ἀκαρνὰν, ξεναγὸς ὢν, καὶ Δάμις ὁ πλούσιος ἐκ Κορίνθου, συγκατῄεσαν. ὁ μὲν Δάμις, ὑπὸ τοῦ παιδὸς ἐκ φαρμάκων ἀποθανών. ὁ δὲ Λάμπις, δι' ἔρωτα Μυρτίου τῆς ἑταίρας, ἀποσφάξας ἑαυτόν. ὁ δὲ Βλεψίας, λιμῷ ἄθλιος ἐλέγετο ἀπεσκληκέναι, καὶ ἐδήλου ὠχρὸς ὢν ὑπερβολῇ, καὶ λεπτὸς ὢν τὸ ἀκριβέστατον φαινόμενος. ἐγὼ δὲ, καίπερ εἰδὼς, ἀνέκρινον ὃν τρόπον ἀποθάνοι. εἶτα τῷ μὲν Δαμίδι αἰτιωμένῳ τὸν υἱόν, οὐκ ἄδικα μέντοι ἔπαθες ἔφην ὑπ' αὐτοῦ, ὃς τάλαντα ἔχων ὁμοῦ χίλια, καὶ τρυφῶν αὐτὸς ἐνενηκονταέτης ὤν, ὀκτω-

καιδεκαέτει

καιδεκαέτει νεανίσκῳ τέτταρας ὀβολοὺς παρέ-
χες. σὺ δὲ ὦ Ἀκαρνάν, ἔστενε γὰρ κἀκεῖνος, καὶ κα-
τηρᾶτο τῇ Μυρτίῳ, τί αἰτιᾷ τὸν ἔρωτα, σαυτὸν δὲ
οὔ; ὃς τοὺς μὲν πολεμίους οὐδὲ πώποτε ἔτρεσας, ἀλ-
λὰ φιλοκινδύνως ἠγωνίζου πρὸ τῶν ἄλλων. ὑπὸ δὲ
τοῦ τυχόντος παιδισκαρίου, καὶ δακρύων ἐπιπλά-
στων, καὶ στεναγμῶν, ἑάλως ὁ γεννάδας. ὁ μὲν γὰρ
Βλεψίας αὐτὸς, ἑαυτοῦ κατηγόρει φθάσας, πολ-
λὴν τὴν ἄνοιαν, ὅτι χρήματα ἐφύλαττε τοῖς μη-
δὲν προσήκουσι κληρονόμοις, ἐς ἀεὶ βιώσεσθαι ὁ
μάταιος νομίζων. πλὴν ἐμοί γε οὐ τὴν τυχοῦσαν τερ-
ψιν παρέσχοντό τε στένοντες. ἀλλ' ἤδη μὲν ἐπὶ
τῷ στομίῳ ἐσμέν. ἀποβλέπειν χρὴ, καὶ ἀποσκοπεῖν
πόρρωθεν τοὺς ἀφικνουμένους. βαβαὶ, πολλοί γε, καὶ
ποικίλοι, καὶ πάντες δακρύοντες, πλὴν τῶν νεο-
γνῶν τούτων καὶ νηπίων. ἀλλὰ καὶ οἱ πάνυ γεγηρα-
κότες ὀδύρονται. τί τοῦτο; ἆρα τὸ φίλτρον αὐτοὺς
ἔχει τοῦ βίου; τοῦτον οὖν τὸν ὑπέργηρων ἐρέσθαι βούλο-
μαι. τί δακρύεις τηλικοῦτος ἀποθανών; τί ἀγα-
νακτεῖς ὦ βέλτιστε; καὶ ταῦτα, γέρων ἀφιγμένος;
ἦπου βασιλεὺς ἦσθα; Πτω. οὐδαμῶς. Διο. ἀλλὰ
σατράπης; Πτω. οὐδὲ τοῦτο. Διο. ἆρα οὖν ἐπλούτεις,
εἶτα ἀνιᾷ σε τὸ πολλὴν τρυφὴν ἀπολιπόντα τεθ-
νάναι; Πτω. οὐδὲν τοιοῦτον. ἀλλ' ἔτη μὲν ἐγεγόνειν
ἀμφὶ τὰ ἐνενήκοντα. βίον δὲ ἄπορον ἀπὸ καλά-
μου καὶ ὁρμιᾶς εἶχον, ἐς ὑπερβολὴν πτωχὸς ὤν, ἄτε-

κνός τε,

πηρός τε, καὶ προσέτι χωλός, καὶ ἀμυδρὸν βλέπων. ΔΙΟ. εἶτα τοιοῦτος ὢν, ζῆν ἤθελες; ΠΤΩ. ναί. ἡδὺ γὰρ ἦν τὸ φῶς, καὶ τὸ τεθνάναι, δεινόν, καὶ φευκτέον. ΔΙΟ. παραπαίεις ὦ γέρον, καὶ μειρακιεύῃ πρὸς τὸ χρεών. καὶ ταῦτα, ἡλικιώτης ὢν τοῦ πορθμέως. τί οὖν ἄν τις λέγοι περὶ τῶν νέων, ὁπότε οἱ τηλικοῦτοι φιλόζωοι εἰσίν; οὓς ἐχρῆν διώκειν τὸν θάνατον, ὡς τῶν ἐν τῷ γήρᾳ κακῶν φάρμακον. ἀλλ᾽ ἀπίωμεν, μὴ καί τις ἡμᾶς ὑπίδηται, ὡς ἀπόδρασιν βουλεύοντας, ὁρῶν περὶ τὸ στόμιον εἰλουμένους.

## ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΤΕΙΡΕΣΙΟΥ.

Ὦ Τειρεσία, εἰ μὲν καὶ τυφλὸς εἶ, οὐκέτι διαγνῶναι ῥᾴδιον. ἅπασι γὰρ ἡμῖν ὁμοίως τὰ ὄμματα κενά, μόνον δὲ αἱ χῶραι αὐτῶν. τὰ δ᾽ ἄλλα, οὐκέτ᾽ ἂν εἰπεῖν ἔχοις τίς ὁ Φινεὺς ἦν, ἢ τίς ὁ Λυγκεύς. ὅτι μέντοι μάντις ἦσθα, καὶ ὅτι ἀμφότερα ἐγένου μόνος ἀνήρ καὶ γυνή, τῶν ποιητῶν ἀκούσας οἶδα. πρὸς τῶν θεῶν τοιγαροῦν εἰπέ μοι, ὁποτέρου ἐπειράθης ἡδίονος τῶν βίων, ὁπότε ἀνὴρ ἦσθα, ἢ ὁ γυναικεῖος; ΤΕΙ. ἀμείνων ἦν παραπολὺ ὦ Μένιππε ὁ γυναικεῖος. ἀπραγμονέστερος γάρ, καὶ δεσπόζουσι τῶν ἀνδρῶν αἱ γυναῖκες. καὶ οὔτε πολεμεῖν ἀνάγκη αὐταῖς, οὔτε παρ᾽ ἔπαλξιν ἑστάναι, οὔτ᾽ ἐν ἐκκλησίᾳ διαφέρεσθαι, οὔτ᾽ ἐν δικαστηρίοις ἐξετάζεσθαι. ΜΕ. οὐ γὰρ ἀκήκοας ὦ Τειρεσία τῆς Εὐριπίδου Μηδείας οἷα εἶπεν, οἰκτείρουσα τὸ

γυναικεῖον, ὡς ἀθλίας οὔσας, καὶ ἀφόρητόν τινα τὸν ἐκ τῶν ὠδίνων πόνον ὑφισταμένας; ἀτὰρ εἰπέ μοι, ὑπέμνησε γάρ με τὰ τῆς Μηδείας ἰαμβεῖα, καὶ ἔτεκές ποτε ὁπότε γυνὴ ἦσθα, ἢ στεῖρα, καὶ ἄγονος διετέλεσας ἐν ἐκείνῳ τῷ βίῳ; Τει. τί τοῦτο ὦ Μένιππε ἐρωτᾷς; Με. οὐδὲν χαλεπὸν ὦ Τειρεσία. πλὴν ἀπόκριναι, εἴ σοι ῥᾴδιον. Τει. οὐ στεῖρα μὲν ἤμην, οὐκ ἔτεκον δ' ὅμως. Με. ἱκανὸν τοῦτο. εἰ γὰρ καὶ μήτραν εἶχες, ἐβουλόμην εἰδέναι. Τει. εἶχον δηλαδή. Με. χρόνῳ δέ σοι ἡ μήτρα ἠφανίσθη, καὶ τὸ μόριον τὸ γυναικεῖον ἀπεφράγη, καὶ οἱ μαστοὶ ἀπετάθησαν, καὶ τὸ ἀνδρεῖον ἀνεφύη, καὶ πώγωνα ἐξήνεγκας, ἢ αὐτίκα ἐκ γυναικὸς ἀνὴρ ἀνεφάνης; Τει. οὐχ ὁρῶ τί σοι βούλεται τὸ ἐρώτημα. δοκεῖς δ' οὖν μοι ἀπιστεῖν, εἰ ταῦθ' οὕτως ἐγένετο. Με. οὐ χρὴ γὰρ ἀπιστεῖν ὦ Τειρεσία τοῖς τοιούτοις, ἀλλὰ καθάπερ τινὰ βλᾶκα μὴ ἐξετάζοντα εἴτε δυνατά ἐστιν, εἴτε καὶ μή, παραδέχεσθαι; Τει. σὺ οὖν οὐδὲ τἆλλα πιστεύεις οὕτω γενέσθαι, ὁπότ' ἂν ἀκούσῃς ὄρνεα ἐκ γυναικῶν ἐγένοντό τινες, ἢ δένδρα, ἢ θηρία, τὴν Ἀηδόνα, ἢ τὴν Δάφνην, ἢ τὴν τοῦ Λυκάονος θυγατέρα; Με. ἤν που κἀκείναις ἐντύχω, εἴσομαι ὅ τι καὶ λέγουσι. σὺ δὲ ὦ βέλτιστε, ὁπότε γυνὴ ἦσθα, καὶ ἐμαντεύου τότε ὥσπερ καὶ ὕστερον, ἢ ἅμα ἀνὴρ καὶ μάντις ἔμαθες εἶναι; Τει. ὁρᾷς; ἀγνοεῖς τὰ

περὶ

ποθὶ ἐμοῦ ἅπαντα, ὡς καὶ διέλυσά τινα ἔριν τῶν θεῶν, καὶ ἡ μὲν Ἥρα ἐπήρωσέ με. ὁ δὲ Ζεὺς, παρεμυθήσατο τῇ μαντικῇ τὴν συμφοράν. Μεν. ἔτι ἔχῃ ὦ Τειρεσία τῶν ψευσμάτων; ἀλλὰ κατὰ τοὺς μάντεις τοῦτο ποιεῖς. ἔθος γὰρ ὑμῖν μηδὲν ὑγιὲς λέγειν.

## ΑΙΑΝΤΟΣ ΚΑΙ ΑΓΑΜΕΜΝΟΝΟΣ.

Εἰ σὺ μανεὶς ὦ Αἶαν, σεαυτὸν ἐφόνευσας, ἐμέλλησας δὲ καὶ ἡμᾶς ἅπαντας, τί αἰτιᾷ τὸν Ὀδυσσέα; καὶ πρώην οὔτε προσέβλεψας αὐτὸν, ὁπότε ἧκε μαντευσόμενος, οὔτε προσειπεῖν ἠξίωσας ἄνδρα συστρατιώτην, καὶ ἑταῖρον. ἀλλ' ὑπεροπτικῶς μεγάλα βαίνων, παρῆλθες. Αἰ. εἰκότως ὦ Ἀγάμεμνον. αὐτὸς γάρ μοι τῆς μανίας αἴτιος κατέστη, μόνος ἀντεξετασθεὶς ἐπὶ τοῖς ὅπλοις. Ἀγα. ἠξίους δὲ ἀνανταγώνιστος εἶναι, καὶ ἀκονιτὶ κρατεῖν ἁπάντων; Αἰ. ναὶ, τά γε τοιαῦτα. οἰκεία γάρ μοι ἦν ἡ πανοπλία, τοῦ ἀνεψιοῦ γε οὖσα. καὶ ὑμεῖς οἱ ἄλλοι πολὺ ἀμείνους ὄντες, ἀπείπασθε τὸν ἀγῶνα, καὶ παρεχωρήσατέ μοι τῶν ἄθλων. ὁ δὲ Λαέρτου, ὃν ἐγὼ πολλάκις ἔσωσα κινδυνεύοντα κατακεκόφθαι ὑπὸ τῶν Φρυγῶν, ἀμείνων ἠξίου εἶναι, καὶ ἐπιτηδειότερος ἔχειν τὰ ὅπλα. Ἀγα. αἰτιῶ τοιγαροῦν ὦ γενναῖε τὴν Θέτιν, ἣ δέον σοι τὴν κληρονομίαν τῶν ὅπλων παραδοῦναι συγγενεῖ γε ὄντι, φέρουσα, ἐς τὸ κοινὸν κατέ-

θετο αὐτά. Αἰ. οὔκ. ἀλλὰ τὸν Ὀδυσσέα, ὃς ἀντεποιήθη μόνος. Αγα. συγγνώμη ὦ Αἶαν, εἰ ἄνθρωπος ὤν, ὠρέχθη δόξης ἡδίστου πράγματος, ὑπὲρ οὗ καὶ ἡμῶν ἕκαστος κινδυνεύειν ὑπομένει, ἐπεὶ καὶ ἐκράτησέ σου. καὶ ταῦτα, παρὰ Τρωσὶ δικασταῖς. Αἰ. οἶδα ἐγὼ ἥτις μου κατεδίκασεν, ἀλλ' οὐ θέμις λέγειν τι περὶ τῶν θεῶν. τὸν γοῦν Ὀδυσσέα μὴ οὐχὶ μισεῖν οὐκ ἂν δυναίμην ὦ Ἀγάμεμνον, οὐδ' εἰ αὐτή μοι Ἀθηνᾶ τοῦτο ἐπιτάττοι.

## ΜΙΝΩΟΣ ΚΑΙ ΣΩΣΤΡΑΤΟΥ.

Ὁ μὲν λῃστὴς οὗτος Σώστρατος, ἐς τὸν Πυριφλεγέθοντα ἐμβεβλήσθω. ὁ δ' ἱερόσυλος ὑπὸ τῆς Χιμαίρας διασπασθήτω. ὁ δὲ τύραννος ὦ Ἑρμῆ, παρὰ τὸν Τιτυὸν ἀποταθεὶς, ὑπὸ τῶν γυπῶν κειρέσθω καὶ αὐτὸς τὸ ἧπαρ. ὑμεῖς δὲ οἱ ἀγαθοί, ἄπιτε κατὰ τάχος ἐς τὸ Ἠλύσιον πεδίον, καὶ τὰς μακάρων νήσους κατοικεῖτε, ἀνθ' ὧν δίκαια ἐποιεῖτε παρὰ τὸν βίον. Σω. ἄκουσον ὦ Μίνως, εἴ σοι δίκαια δόξω λέγειν. Μι. νῦν ἀκούσω αὖθις; οὐ γὰρ ἐξελήλεγξαι ὦ Σώστρατε πονηρὸς ὤν, καὶ τοσούτους ἀπεκτονώς; Σω. ἐλήλεγμαι μέν. ἀλλ' ὅρα εἰ δικαίως κολασθήσομαι. Μι. καὶ πάνυ, εἴ γε ἀποτίνειν τὴν ἀξίαν δίκαιον. Σω. ὅμως ἀπόκριναί μοι ὦ Μίνως. βραχὺ γάρ τι ἐρήσομαί σε. Μι. λέγε μὴ μακρὰ μόνον, ὅπως καὶ τοὺς ἄλλους διακρίνωμεν ἤδη. Σω. ὁπόσα ἔπραττον ἐν τῷ βίῳ,

πότερα ἑκὼν ἔπραττον, ἢ ἐπεκέκλωστό μοι ὑπὸ τῆς μοίρας; Μι. ὑπὸ τῆς μοίρας δηλαδή. Σω. οὐκοῦν καὶ οἱ χρηστοὶ ἅπαντες, καὶ οἱ πονηροὶ δοκοῦντες ἡμεῖς, ἐκείνῃ ὑπηρετοῦντες, ταῦτα ἐδρῶμεν. Μι. ναὶ, τῇ Κλωθοῖ, ἣ ἑκάστῳ ἐπέταξε γεννηθέντι, τὰ πρακτέα. Σω. εἰ οὖν τις ἀναγκασθεὶς ὑπ᾽ ἄλλου φονεύσειέ τινα, οὐ δυνάμενος ἀντιλέγειν ἐκείνῳ βιαζομένῳ, οἷον δήμιος, ἢ δορυφόρος, ὁ μὲν δικαστῇ πεισθεὶς, ὁ δὲ τυράννῳ, τίνα αἰτιάσῃ τοῦ φόνου; Μι. δῆλον ὡς τὸν δικαστὴν, ἢ τὸν τύραννον. ἐπεὶ οὐδὲ τὸ ξίφος αὐτό. ὑπηρετεῖ γὰρ τοῦτο ὄργανον ὂν πρὸς τὸν θυμὸν, τῷ πρώτως παρασχόντι τὴν αἰτίαν. Σω. εὖγε ὦ Μίνως, ὅτι καὶ ἐπιδαψιλεύῃ τὸ παράδειγμα. ἢν δέ τις ἀποστείλαντος τοῦ δεσπότου, ἥκῃ αὐτὸς χρυσὸν ἢ ἄργυρον κομίζων, τίνι τὴν χάριν ἰστέον, ἢ τίνα εὐεργέτην ἀναγραπτέον; Μι. τὸν πέμψαντα ὦ Σώστρατε. διάκονος γὰρ ὁ κομίσας ἦν. Σω. οὐκοῦν ὁρᾷς πῶς ἄδικα ποιεῖς κολάζων ἡμᾶς ὑπηρέτας γενομένους, ὧν ἡ Κλωθὼ προσέταττε, καὶ τούτους τιμῶν τοὺς διακονησαμένους ἀλλοτρίοις ἀγαθοῖς; οὐ γὰρ δὴ ἐκεῖνο εἰπεῖν ἔχοι τις ἂν, ὡς ἀντιλέγειν δυνατὸν ἦν, τοῖς μετὰ πάσης ἀνάγκης προστεταγμένοις. Μι. ὦ Σώστρατε, πολλὰ ἴδοις ἂν καὶ ἄλλα οὐ κατὰ λόγον γινόμενα, εἰ ἀκριβῶς ἐξετάζοις. πλὴν ἀλλὰ σὺ τοῦτο ἀπολαύσεις

τῆς ἐπερωτήσεως. διότι οὐ λῃστὴς μόνον, ἀλλὰ καὶ σοφιστής τις εἶναι δοκεῖς. ἀπόλυσον αὐτὸν ὦ Ἑρμῆ, καὶ μηκέτι κολαζέσθω. ὅρα δὲ μὴ καὶ τοὺς ἄλλους νεκροὺς ἐρωτᾶν τὰ ὅμοια διδάξῃς.

## ΜΕΝΙΠΠΟΣ, Η ΝΕΚΥΟΜΑΝΤΕΙΑ.

### ΜΕΝΙΠΠΟΣ.

Ὦ χαῖρε μέλαθρον, πρόπυλά θ' ἑστίας ἐμῆς. ὡς ἄσμενός σ' ἐσεῖδον, ἐς φάος μολών. Φιλω. οὐ Μένιππος οὗτός ἐστιν ὁ κύων; οὐ μὲν οὖν ἄλλος, εἰ μὴ ἐγὼ παραβλέπω Μενίππους ὅλους. τί δ' αὐτῷ βούλεται τὸ ἀλλόκοτον τοῦ σχήματος, πῖλος, καὶ λύρα, καὶ λεοντῆ; προσιτέον δὲ ὅμως αὐτῷ. χαῖρε ὦ Μένιππε. καὶ πόθεν ἡμῖν ἀφῖξαι; πολὺν γὰρ χρόνον οὐ πέφηνας ἐν τῇ πόλει. Μεν. Ἥκω νεκρῶν κευθμῶνα, καὶ σκότου πύλας λιπὼν, ἵν' ᾅδης χωρὶς ᾤκισται θεῶν.

Φιλω. ἡράκλεις. ἐλελήθει Μένιππος ἡμᾶς ἀποθανὼν, κᾆτ' ἐξ ὑπαρχῆς ἀναβεβίωκεν; Μέ. οὐκ, ἀλλ' ἔτ' ἔμπνουν ἀΐδης μ' ἐδέξατο. Φι. τίς δ' ἡ αἰτία σοι τῆς καινῆς καὶ παραδόξου ταύτης ἀποδημίας; Μέ. νεότης μ' ἐπῆρε, καὶ θράσος τοῦ νοῦ πλέον. Φι. παῦσαι μακάριε τραγῳδῶν, καὶ λέγε οὑτωσί πως ἁπλῶς, καταβὰς ἀπὸ τῶν ἰαμβείων. τίς ἡ στολή; τί σοι τῆς κάτω πορείας ἐδέησεν; ἄλλως γὰρ οὐχ ἡδεῖά τις, οὐδὲ ἀσπάσιος ἡ ὁδός.

Μεν. ὦ φιλότης χρειώ με κατήγαγεν εἰς ἀΐδαο

ψυχῇ χρησόμενον Θηβαίου Τειρεσίου. Φι. οὗτος,
ἀλλ' ἢ παραπαίεις, οὐ γὰρ ἂν οὕτως ἐμμέτρως ἐῤ-
ῥαψῴδεις πρὸς ἄνδρας φίλους. Μεν. μὴ θαυμά-
σῃς ὦ ἑταῖρε. νεωστὶ γὰρ Εὐριπίδῃ καὶ Ὁμήρῳ
συγγενόμενος, οὐκ οἶδ' ὅπως ἀνεπλήσθην τῶν
ἐπῶν, καὶ αὐτόματά μοι τὰ μέτρα ἐπὶ τὸ στόμα ἔρ-
χεται. ἀτὰρ εἰπέ μοι, πῶς τὰ ὑπὲρ γῆς ἔχει, καὶ
τί ποιοῦσιν οἱ ἐν τῇ πόλει; Φι. καινὸν οὐδὲν, ἀλλ'
οἷα καὶ πρὸ τοῦ ἁρπάζουσιν, ἐπιορκοῦσι, τοκογλυ-
φοῦσιν, ὀβολοστατοῦσιν. Μεν. ἄθλιοι καὶ κακοδαί-
μονες. οὐ γὰρ ἴσασιν οἷα ἔναγχος κεκύρωται πα-
ρὰ τοῖς κάτω, καὶ οἷα κεχειροτόνηται τὰ ψηφίσ-
ματα κατὰ τῶν πλουσίων, ἃ μὰ τὸν κέρβερον οὐδε-
μία μηχανὴ τὸ διαφυγεῖν αὐτούς. Φι. τί φῄς;
δέδοκταί τι νεώτερον τοῖς κάτω περὶ τῶν ἐνθα-
δε; Μεν. νὴ Δία καὶ πολλὰ, ἀλλ' οὐ θέμις ἐκφέ-
ρειν αὐτὰ πρὸς ἅπαντας, οὐδὲ τὰ ἀπόῤῥητα ἐξα-
γορεύειν, μὴ καί τις ἡμᾶς γράψηται γραφὴν ἀ-
σεβείας ἐπὶ τοῦ ῥαδαμάνθυος. Φι. μηδαμῶς ὦ
Μένιππε πρὸς τοῦ Διός, μὴ φθονήσῃς τῶν λόγων
φίλῳ ἀνδρί. πρὸς γὰρ εἰδότα σιωπᾶν ἐρεῖς τά τ'
ἄλλα, καὶ πρὸς μεμυημένον. Μεν. χαλεπὸν μὲν
ἐπιτάττεις τοὐπίταγμα, καὶ οὐ πάντῃ ἀσφαλὲς,
πλὴν ἀλλὰ σοῦ γε ἕνεκα τολμητέον. ἔδοξε δὴ
τοὺς πλουσίους τούτους καὶ πολυχρημάτους, καὶ τὸ χρυ-
σίον κατάκλειστον ὥσπερ τὴν Δανάην φυλάττον-

τὰς. Φι. μὴ πρότερον εἴπῃς ὦ 'γαθὲ τὰ δεδογμένα, πρὶν ἐκεῖνα διελθεῖν ἃ μάλιστ' ἂν ἡδέως ἀκούσαιμί σου, ἥτις αἰτία σοι τῆς καθόδου ἐγένετο, τίς δὲ ὁ τῆς πορείας ἡγεμὼν, εἶθ' ἑξῆς ἅτε εἶδες, ἅτε ἤκουσας παρ' αὐτοῖς. εἰκὸς γὰρ δὴ φιλόκαλον ὄντα σε, μηδὲν τῶν ἀξίων θέας ἢ ἀκοῆς παραλιπεῖν.

Μεν. ὑπουργητέον καὶ ταῦτά σοι. τί γὰρ ἂν καὶ πάθοι τις, ὁπότε φίλος ἀνὴρ βιάζοιτο; καὶ δὴ πρῶτά σοι δίειμι τὴν γνώμην τὴν ἐμὴν, καὶ ὅθεν ὡρμήθην πρὸς τὴν κατάβασιν. ἐγὼ γὰρ ἄχρι μὲν ἐν παισὶν ἦν ἀκούων Ομήρου καὶ Ησιόδου πολέμους καὶ στάσεις διηγουμένων, οὐ μόνον τῶν ἡμιθέων, ἀλλὰ καὶ αὐτῶν ἤδη τῶν θεῶν, ἔτι δὲ καὶ μοιχείας αὐτῶν καὶ βίας καὶ ἁρπαγὰς καὶ δίκας, καὶ πατέρων ἐξελάσεις καὶ ἀδελφῶν γάμους, πάντα ταῦτα ἡγούμην εἶναι καλὰ, καὶ οὐ παρέργως ἐκινούμην πρὸς αὐτά. ἐπεὶ δὲ εἰς ἄνδρας τελεῖν ἠρξάμην, πάλιν αὖ ἐνταῦθα ἤκουον τῶν νόμων τἀναντία τοῖς ποιηταῖς κελευόντων, μήτε μοιχεύειν, μήτε στασιάζειν, μήτε ἁρπάζειν. ἐν μεγάλῃ οὖν καθιστήκειν ἀμφιβολίᾳ, οὐκ εἰδὼς ὅτι χρησαίμην ἐμαυτῷ. οὔτε γὰρ τοὺς θεοὺς ἄν ποτε ἡγούμην μοιχεῦσαι, καὶ στασιάσαι πρὸς ἀλλήλους, εἰ μὴ ὡς περὶ καλῶν τούτων ἐγίνωσκον, οὔτ' ἂν τοὺς νομοθέτας τἀναντία τούτοις παραινεῖν, εἰ μὴ λυσιτελεῖν ὑπελάμβανον, ἐπεὶ δὲ διηπόρουν, ἔδοξέ μοι

ἐλθόντα

ἐλθόντα παρὰ τοὺς καλουμένους τούτους φιλοσόφους,
ἐγχειρίσαι τε ἐμαυτὸν καὶ δεηθῆναι αὐτῶν χρῆ-
σθαί μοι, ὅτι βούλοιντο, καί τινα ὁδὸν ἁπλῆν καὶ
βεβαίαν ὑποδεῖξαι τοῦ βίου. ταῦτα μὲν δὴ φρο-
νῶν προσῄειν αὐτοῖς. ἐλελήθειν δ᾽ ἐμαυτὸν εἰς αὐ-
τό φασι τὸ πῦρ ἐκ τοῦ καπνοῦ βιαζόμενος. παρὰ
γὰρ δὴ τούτοις μάλιστα εὕρισκον ἐπισκοπῶν τὴν
ἄγνοιαν καὶ τὴν ἀπορίαν πλείονα, ὥστε μοι τάχι-
στα χρυσοῦν ἀπέδειξαν οὗτοι τὸν τῶν ἰδιωτῶν βίον.
ἀμέλει, ὁ μὲν αὐτῶν παρῄνει τὸ πᾶν ἥδεσθαι, καὶ
μόνον τοῦτο ἐκ παντὸς μετιέναι, τοῦτο γὰρ εἶναι τὸ εὐ-
δαιμον. ὁ δ᾽ ἔμπαλιν, πονεῖν τὰ πάντα, καὶ
μοχθεῖν, καὶ τὸ σῶμα καταναγκάζειν, ῥυπῶντα καὶ
αὐχμῶντα, καὶ πᾶσι δυσαρεστοῦντα, καὶ λοιδορού-
μενον, συνεχὲς ἐπιρραψῳδῶν τὰ πάνδημα ἐκεῖ-
να τοῦ Ἡσιόδου περὶ τῆς ἀρετῆς ἔπη, καὶ τὸν ἱδρῶτα, καὶ
τὴν ἐπὶ τὸ ἄκρον ἀνάβασιν. ἄλλος καταφρονεῖν χρη-
μάτων παρεκελεύετο, καὶ ἀδιάφορον οἴεσθαι τὴν κτῆ-
σιν αὐτῶν, ὁ δέ τις αὖ πάλιν ἀγαθὸν εἶναι καὶ τὸν πλοῦ-
τον αὐτὸν ἀπεφαίνετο. περὶ μὲν γὰρ τοῦ κόσμου τί χρὴ
καὶ λέγειν; ὅς γε ἰδέας καὶ ἀσώματα καὶ ἀτόμους καὶ
κενὰ, καὶ τοιοῦτόν τινα ὄχλον ὀνομάτων ὁσημέραι
παρ᾽ αὐτῶν ἀκούων ἐναντίων, καὶ τὸ πάντων δεινῶν
ἀτοπώτατον, ὅτι περὶ τῶν ἐναντιωτάτων ἕκα-
στος αὐτῶν λέγων, σφόδρα νικῶντας καὶ πιθανοὺς
λόγους ἐπορίζετο, ὥστε μήτε τῷ θερμὸν τὸ αὐτὸ

πρᾶγμα λέγοντι, μήτε τὸ ψυχρόν, ἀντιλέγειν ἔχειν. καὶ ταῦτα εἰδότα σαφῶς, ὡς οὐκ ἄν ποτε θερμόν τι εἴη καὶ ψυχρὸν ἐν ταὐτῷ χρόνῳ. ἀτεχνῶς οὖν ἔπασχον τοῖς νυστάζουσι τούτοις ὅμοιον, ἄρτι μὲν ἐπινεύων, ἄρτι δὲ ἀνανεύων ἔμπαλιν. ἔτι δὲ πολλῷ τούτων ἐκεῖνο ἀτοπώτερον. τοὺς γὰρ αὐτοὺς τούτους εὕρισκον ἐπιτηρῶν, ἐναντιώτατα τοῖς αὐτῶν λόγοις ἐπιτηδεύοντας. τοὺς γοῦν καταφρονεῖν παραινοῦντας χρημάτων, ἑώρων ἀπρὶξ ἐχομένους αὐτῶν, καὶ περὶ τόκων διαφερομένους, καὶ ἐπὶ μισθῷ παιδεύοντας, καὶ πάντα ἕνεκα τούτων ὑπομένοντας. τούς τε τὴν δόξαν ἀποβαλλομένους, αὐτῆς ἕνεκα πάντα ἐπιτηδεύοντας. ἡδονῆς τε αὖ σχεδὸν ἅπαντας κατηγοροῦντας, ἰδίᾳ δὲ μόνῃ ταύτῃ προσηρτημένους. σφαλεὶς οὖν καὶ ταύτης τῆς ἐλπίδος, ἔτι μᾶλλον ἐδυσχέραινον, ἠρέμα παραμυθούμενος ἐμαυτὸν, ὅτι μετὰ πολλῶν καὶ σοφῶν, καὶ σφόδρα ἐπὶ συνέσει διαβεβοημένων ἀνόητός τέ εἰμι, καὶ τἀληθὲς ἔτι ἀγνοῶν περιέρχομαι. καί μοι ποτὲ διαγρυπνοῦντι τούτων ἕνεκα, ἔδοξεν ἐς Βαβυλῶνα ἐλθόντα, δεηθῆναί τινος τῶν μάγων, τῶν Ζωροάστρου μαθητῶν καὶ διαδόχων. ἤκουον δ᾽ αὐτοὺς ἐπῳδαῖς τε καὶ τελεταῖς τισιν ἀνοίγειν τε τοῦ ᾅδου τὰς πύλας, καὶ κατάγειν ὃν ἂν βούλωνται ἀσφαλῶς, καὶ ὀπίσω αὖθις ἀναπέμπειν. ἄριστον οὖν ἡγούμην εἶναι, παρά τινος τούτων

τῶν

τῶν διαπραξαμένων τὴν κατάβασιν, ἐλθόντα
παρὰ τειρεσίαν τὸν Βοιώτιον, μαθεῖν παρ' αὐτοῦ,
ἅτε μάντεως καὶ σοφοῦ, τίς ἐστιν ὁ ἄριστος βίος, καὶ
ὃν ἄν τις ἕλοιτο ὁ εὖ φρονῶν. καὶ δὴ ἀναπηδήσας
ὡς εἶχον τάχους, ἔτεινον εὐθὺ Βαβυλῶνος. ἐλθὼν
δὲ, συγγίνομαί τινι τῶν χαλδαίων σοφῷ ἀνδρὶ καὶ
θεσπεσίῳ τὴν τέχνην, πολιῷ μὲν τὴν κόμην,
γένειον δὲ μάλα σεμνὸν καθειμένῳ, τοὔνομα δ' ἦν
αὐτῷ μιθροβαρζάνης. δεηθεὶς δὲ καὶ καθικετεύσας,
μόλις ἔτυχον παρ' αὐτοῦ ἐφ' ὅτῳ βούλοιτο μισθῷ
καθηγήσασθαί μοι τῆς ὁδοῦ. παραλαβὼν δέ με ὁ ἀ-
νὴρ, πρῶτα μὲν ἡμέρας ἐννέα καὶ εἴκοσιν ἅμα τῇ
σελήνῃ ἀρξάμενος ἔλουε, κατάγων ἐπὶ τὸν εὐ-
φράτην, ἕωθεν πρὸς ἀνατέλλοντα τὸν ἥλιον, ῥῆ-
σίν τινα μακρὰν ἐπιλέγων, ἧς οὐ σφόδρα κατή-
κουον. ὥσπερ γὰρ οἱ φαῦλοι τῶν ἐν τοῖς ἀγῶσι κη-
ρύκων, ἐπίτροχόν τι καὶ ἀσαφὲς ἐφθέγγετο, πλὴν
ἀλλ' ἐῴκει γέ τινας ἐπικαλεῖσθαι δαίμονας. μετὰ
γοῦν τὴν ἐπῳδὴν τρὶς ἄν μου πρὸς τὸ πρόσωπον
ἀποπτύσας, ἐπανῄει πάλιν, οὐδένα τῶν ἀπαντώντων
προσβλέπων. καὶ σιτία μὲν ἡμῖν τὰ ἀκρόδρυα,
ποτὸν δὲ γάλα, καὶ μελίκρατον, καὶ τὸ τοῦ χοάσπου
ὕδωρ, εὐνὴ δὲ ὑπαίθριος ἐπὶ τῆς πόας. ἐπεὶ δὲ
ἅλις εἶχε τῆς προδιαιτήσεως, περὶ μέσας νύκτας,
ἐπὶ τὸν τίγρητα ποταμὸν ἀγαγὼν, ἐκάθηρέ τέ με
καὶ ἀπέμαξε, καὶ περιήγνισε δᾳδὶ καὶ σκίλλῃ καὶ

ἄλλοις πλείοσιν, ἅμα καὶ τὴν ἐπῳδὴν ἐκείνην ὑποτονθορύσας. εἶτα ὅλον με καταμαγεύσας, καὶ περιελθών, ἵνα μὴ βλαπτοίμην ὑπὸ τῶν φαντασμάτων, ἐπανάγει ἐν τὴν οἰκίαν, ὡς εἶχον ἀναποδίζοντα. καὶ τὸ λοιπὸν ἀμφὶ πλοῦν εἴχομεν. αὐτὸς μὲν οὖν μαγικήν τιν' ἔδυ στολὴν, τὰ πολλὰ ἐοικυῖαν τῇ μηδικῇ, ἐμὲ δὲ τουτοισὶ φέρων ἐνεσκεύασε τῷ πίλῳ καὶ τῇ λεοντῇ, καὶ προσέτι τῇ λύρᾳ, καὶ παρεκελεύσατο ἤν τις ἔρηταί με τοὔνομα, Μένιππ(ον) μή μοι λέγειν, Ἡρακλέα δὲ, ἢ Ὀδυσσέα, ἢ Ὀρφέα. Φι. ὡς δὴ τί τοῦτο ὦ Μένιππε; οὐ γὰρ συνίημι τὴν αἰτίαν οὔτε τοῦ σχήματος, οὔτε τῶν ὀνομάτων. Με. καὶ μὴν πρόδηλόν γε τοῦτο, καὶ οὐ παντελῶς ἀπόρρητον. ἐπεὶ γὰρ οὗτοι πρὸ ἡμῶν ζῶντες εἰς ᾅδου κατεληλύθεσαν, ἡγεῖτο, εἴ με ἀπεικάσειεν αὐτοῖς, ῥᾳδίως ἂν τὴν τοῦ Αἰακοῦ φρουρὰν διαλαθεῖν, καὶ ἀκωλύτως παρελθεῖν, ἅτε συνηθέστερον τραγικῶς μάλα παραπεμπόμενον ὑπὸ τοῦ σχήματος. ἤδη δ' οὖν ὑπέφαινεν ἡμέρα, καὶ κατελθόντες ἐπὶ τὸν ποταμὸν, περὶ ἀναγωγὴν ἐγιγνόμεθα. παρεσκεύαστο δ' αὐτῷ καὶ σκάφος, καὶ ἱερεῖα, καὶ μελίκρατα, καὶ ἄλλα ὅσα πρὸς τὴν τελετὴν χρήσιμα. ἐμβαλόμενοι οὖν ἅπαντα τὰ παρεσκευασμένα, οὕτω δὴ καὶ αὐτοὶ βαίνομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες. καὶ μέχρι μέν τινος ὑπεφερόμεθα ἐν τῷ ποταμῷ. εἶτα δὲ

ἐσεπλεύσαμεν ἐς τὸ ἕλος καὶ τὴν λίμνην, ἐς ἣν ὁ εὐφράτης ἀφανίζεται. περαιωθέντες δὲ καὶ ταύτην, ἀφικνούμεθα εἴς τι χωρίον ἐρῆμον καὶ ὑλῶδες, καὶ ἀνήλιον. ἐς ὃ ἀποβάντες, ἡγεῖτο δὲ ὁ Μιθροβαρζάνης, βόθρον τε ὠρυξάμεθα, καὶ τὰ μῆλα ἐσφάξαμεν, καὶ τὸ αἷμα περὶ τὸν βόθρον ἐσπείσαμεν. ὁ δὲ μάγος ἐν τοσούτῳ δᾷδα καιομένην ἔχων, οὐκ ἔτ' ἠρεμαίᾳ τῇ φωνῇ, παμμέγεθες δὲ ὡς οἷός τε ἦν ἀνακραγὼν, δαίμονάς τε ὁμοῦ πάντας ἐπεβοᾶτο, καὶ ποινὰς, καὶ ἐριννύας, καὶ νυχίαν ἑκάτην, καὶ αἰπεινὴν περσεφόνειαν, παραμιγνὺς ἅμα βαρβαρικά τινα καὶ ἄσημα ὀνόματα καὶ πολυσύλλαβα. εὐθὺς οὖν πάντα ἐκεῖνα ἐσαλεύετο, καὶ ὑπὸ τῆς ἐπῳδῆς τοὔδαφος ἀνερρήγνυτο, καὶ ἡ ὑλακὴ τοῦ κερβέρου πόρρωθεν ἠκούετο, καὶ τὸ πρᾶγμα ὑπερκατηφὲς ἦν καὶ σκυθρωπόν. ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων ἀϊδωνεύς. κατεφαίνετο γὰρ ἤδη τὰ πλεῖστα, καὶ ἡ λίμνη, καὶ ὁ πυριφλεγέθων, καὶ τοῦ πλούτωνος τὰ βασίλεια. κατελθόντες δ' ὅμως διὰ τοῦ χάσματος, τὸν μὲν ῥαδάμανθυν εὕρομεν τεθνεῶτα μικροῦ δεῖν ὑπὸ τοῦ δέους. ὁ δὲ κέρβερος ὑλάκτησε μέν τοι, καὶ παρεκίνησε. ταχὺ δέ μου κρούσαντος τὴν λύραν, παραχρῆμα ἐκοιμήθη ὑπὸ τοῦ μέλους. ἐπεὶ δὲ πρὸς τὴν λίμνην ἤλθομεν, μικροῦ μὲν οὐδ' ἐπεραιώθημεν. ἦν γὰρ ἤδη πλῆρες τὸ πορθμεῖον, καὶ οἰμωγῆς ἀνάπλεων. τραυματίαι δὲ

πάντες

παύτες ἐπέπλεον, ὁ μὲν τὸ σκέλος, ὁ δὲ τὴν κεφαλήν, ὁ δὲ ἄλλο τι συντετριμμένος, ἐμοὶ δοκεῖν ἔκ τινος πολέμου παρόντες. ὅμως δ' οὖν ὁ βέλτιστος Χάρων ὡς εἶδε τὴν λεοντῆν, οἰηθείς με τὸν ἡρακλέα εἶναι, ἐσεδέξατό με, καὶ διεπόρθμευσέ τε ἄσμενος, καὶ ἀποβᾶσι διεσήμαινε τὴν ἀτραπόν. ἐπεὶ δὲ ἦμεν ἐν τῷ σκότῳ, προῄει μὲν ὁ μιθροβαρζάνης, εἱπόμην δ' ἐγὼ κατόπιν ἐχόμενος αὐτοῦ, ἕως πρὸς λειμῶνα μέγιστον ἀφικνούμεθα τῷ ἀσφοδέλῳ κατάφυτον, ἔνθα δὴ περιεπέτοντο ἡμᾶς τετριγυῖαι τῶν νεκρῶν αἱ σκιαί. κατ' ὀλίγον δὲ προϊόντες, παραγιγνόμεθα πρὸς τὸ τοῦ Μίνω δικαστήριον. ἐτύγχανε δὲ ὁ μὲν ἐπὶ θρόνου τινὸς ὑψηλοῦ καθήμενος. παρειστήκεισαν δὲ αὐτῷ ποιναί, καὶ ἀλάστορες, καὶ ἐριννύες. ἑτέρωθεν δὲ προσήγοντο πολλοί τινες ἐφεξῆς ἁλύσει μακρᾷ δεδεμένοι. ἐλέγοντο δὲ εἶναι μοιχοί, καὶ πορνοβοσκοί, καὶ τελῶναι, καὶ κόλακες, καὶ συκοφάνται, καὶ τοιοῦτος ὅμιλος τῶν πάντα κυκώντων ἐν τῷ βίῳ. χωρὶς δὲ οἵ τε πλούσιοι καὶ τοκογλύφοι προσῄεσαν, ὠχροί, καὶ προγάστορες, καὶ ποδαγροί, κλοιὸν ἕκαστος αὐτῶν καὶ κόρακα διτάλαντον ἐπικείμενος. ἐφεστῶτες οὖν ἡμεῖς, ἑωρῶμέν τε τὰ γιγνόμενα, καὶ ἠκούομεν τῶν ἀπολογουμένων. κατηγόρουν δὲ αὐτῶν καινοί τινες καὶ παράδοξοι ῥήτορες. Φι. τίνες οὗτοι πρὸς Διός; μὴ γὰρ ὀκνήσῃς καὶ τοῦτο εἰπεῖν. Με.

οἶδά που

οἶσθά που ταυτασὶ τὰς πρὸς τὸν ἥλιον ἀποτελου-
μένας σκιὰς ἀπὸ τῶν σωμάτων; ΦΙ. πάνυ μὲν οὖν.
ΜΕΝ. αὗται τοίνυν ἐπειδὰν ἀποθάνωμεν, κατηγο-
ροῦσί τε καὶ καταμαρτυροῦσι καὶ διελέγχουσι τὰ
πεπραγμένα ἡμῖν παρὰ τὸν βίον, καὶ σφόδρα τινὲς
αὐτῶν ἀξιόπιστοι δοκοῦσιν, ἅτε ἀεὶ συνοῦσαι, καὶ
μηδέποτε ἀφιστάμεναι τῶν σωμάτων. ὁ δ' οὖν
Μίνως ἐπιμελῶς ἐξετάζων, ἀπέπεμπεν ἕκαστον
εἰς τὸν τῶν ἀσεβῶν χῶρον, δίκην ὑφέξοντα κατ'
ἀξίαν τῶν τετολμημένων, καὶ μάλιστα ἐκείνων ἥπτε-
το τῶν ἐπὶ πλούτοις τε καὶ ἀρχαῖς τετυφωμένων,
καὶ μονονουχὶ καὶ προσκυνεῖσθαι περιμενόντων. τήν
τε ὀλιγοχρόνιον ἀλαζονείαν αὐτῶν, καὶ τὴν ὑπερο-
ψίαν μυσαττόμενος, καὶ ὅτι μὴ ἐμέμνηντο, θνητοί
τε ὄντες αὐτοί, καὶ θνητῶν ἀγαθῶν τετυχηκότες.
οἱ δὲ ἀποδυσάμενοι τὰ λαμπρὰ ἐκεῖνα πάντα,
πλούτους λέγω, καὶ γένη, καὶ δυναστείας, γυμνοὶ κάτω
νενευκότες, παρειστήκεσαν, ὥσπερ τινὰ ὄνειρον ἀνα-
πεμπαζόμενοι τὴν παρ' ἡμῖν εὐδαιμονίαν. ὥστε
ἔγωγε ταῦθ' ὁρῶν, ὑπερέχαιρον. καὶ εἴ τινα γνωρί-
σαιμι αὐτῶν, προσιὼν ἂν ἡσυχῆ πως ὑπεμίμνη-
σκον, οἷος ἦν παρὰ τὸν βίον, καὶ ἡλίκον ἐφυσᾶτο
τε, ἡνίκα πολλοὶ μὲν ἕωθεν ἐπὶ τῶν προθύρων πα-
ρειστήκεισαν, τὴν πρόοδον αὐτοῦ περιμένοντες,
ὠθούμενοί τε καὶ ἀποκλειόμενοι πρὸς τῶν οἰκετῶν.
ὁ δὲ μόγις ἄν ποτε ἀνατείλας αὐτοῖς πορφυροῦς

τις

ἧς, ἢ πολύχρυσος, ἢ διαποίκιλος, εὐδαίμονας ᾤετο καὶ μακαρίους ἀποφαίνειν τοὺς προσήκοντας, ἢν τὸ στῆθος ἢ τὴν δεξιὰν προτεινόντων δοίη καταφιλεῖν. ἐκεῖνοι μὲν οὖν ἠνιῶντο ἀκούοντες. τῷ δὲ Μίνωι, μία τις καὶ πρὸς χάριν ἐδικάσθη δίκη. τὸν γάρ τοι σικελιώτην Διονύσιον, πολλὰ καὶ ἀνόσια ὑπό τε Δίωνος κατηγορηθέντα, καὶ ὑπὸ τῆς στοᾶς καταμαρτυρηθέντα, παρελθὼν Ἀρίστιππος ὁ κυρηναῖος (ἄγουσι δ' αὐτὸν ἐν τιμῇ, καὶ δύναται μέγιστον ἐν τοῖς κάτω) μικροῦ δεῖν τῇ χιμαίρᾳ προσδεθέντα, παρέλυσε τῆς καταδίκης, λέγων πολλοῖς αὐτὸν τῶν πεπαιδευμένων πρὸς ἀργύριον γενέσθαι δεξιόν. ἀποστάντες δὲ ὅμως τοῦ δικαστηρίου πρὸς τὸ κολαστήριον ἀφικνούμεθα, ἔνθα δὴ ὦ φίλε πολλὰ καὶ ἐλεεινὰ ἦν ἀκοῦσαί τε καὶ ἰδεῖν. μαστίγων τε γὰρ ὁμοῦ ψόφος ἠκούετο, καὶ οἰμωγὴ τῶν ἐπὶ τοῦ πυρὸς ὀπτωμένων, καὶ στρέβλαι, καὶ κύφωνες, καὶ τροχοί, καὶ ἡ χίμαιρα ἐσπάραττε, καὶ ὁ κέρβερος ἐδάρδαπτε. ἐκολάζοντό τε ἅμα πάντες, βασιλεῖς, δοῦλοι, σατράπαι, πένητες, πλούσιοι, πτωχοί. καὶ μετέμελε πᾶσι τῶν τετολμημένων. ἐνίους δὲ αὐτῶν καὶ ἐγνωρίσαμεν ἰδόντες, ὁπόσοι ἦσαν τῶν ἔναγχος τετελευτηκότων. οἱ δὲ ἐνεκαλύπτοντο, καὶ ἀπεστρέφοντο. εἰ δὲ καὶ προσβλέποιεν, μάλα δουλοπρεπές τι καὶ κολακευτικόν. καὶ ταῦτα πῶς οἴει βαρεῖς ὄντες, καὶ ὑπερόπται παρὰ τὸν

βίον;

βίον. τοῖς μὲν τοι πένησιν, ἡμιτέλεια τῶν κακῶν ἐδέδοτο. καὶ διαναπαυόμενοι, πάλιν ἐκολάζοντο. καὶ μὴν κἀκεῖνα εἶδον τὰ μυθώδη, τὸν Ἰξίονα, καὶ τὸν Σίσυφον, καὶ τὸν Φρύγα Τάνταλον χαλεπῶς ἔχοντα, καὶ τὸν γηγενῆ Τιτυόν, ἡράκλεις ὅσος. ἔκειτο γὰρ τόπον ἐπέχων ἀγροῦ. διελθόντες δὲ καὶ τούτους, εἰς τὸ πεδίον ἐσβάλλομεν, τὸ ἀχερούσιον, εὑρίσκομέν τε αὐτόθι τοὺς ἡμιθέους τε καὶ τὰς ἡρωΐνας, καὶ τὸν ἄλλον ὅμιλον τῶν νεκρῶν κατὰ ἔθνη καὶ φῦλα διαιτωμένους, τοὺς μὲν παλαιούς τινας καὶ εὐρωτιῶντας, καὶ ὥς φησιν Ὅμηρος, ἀμενηνούς. τοὺς δὲ νεαλεῖς, καὶ συνεστηκότας, καὶ μάλιστα τοὺς αἰγυπτίων αὐτοὺς διὰ τὸ πολυαρκὲς τῆς ταριχείας, τὸ μέντοι διαγινώσκειν ἕκαστον, οὐ πάνυ τι ἦν ῥᾴδιον. ἅπαντες γὰρ ἀτεχνῶς ἀλλήλοις γίνονται ὅμοιοι, τῶν ὀστέων γεγυμνωμένων, πλὴν μόγις καὶ διὰ πολλοῦ ἀναθεωροῦντες αὐτοὺς ἐγινώσκομεν. ἔκειντο δ' ἐπ' ἀλλήλοις ἀμαυροὶ καὶ ἄσημοι, καὶ οὐδὲν ἔτι τῶν παρ' ἡμῖν καλῶν φυλάττοντες, ὥστε πολλῶν ἐν ταὐτῷ σκελετῶν κειμένων, καὶ πάντων ὁμοίων, φοβερόν τι καὶ διάκενον δεδορκότων, καὶ γυμνοὺς τοὺς ὀδόντας προφαινόντων, ἠπόρουν πρὸς ἐμαυτόν, ᾧ τινι διακρίναιμι τὸν Θερσίτην ἀπὸ τοῦ καλοῦ Νιρέως, ἢ τὸν μεταίτην Ἶρον ἀπὸ τοῦ Φαιάκων Βασιλέως, ἢ Πυρρίαν τὸν μάγειρον ἀπὸ τοῦ Ἀγαμέμνονος. οὐδὲν γὰρ ἔτι τῶν παλαιῶν

γνωρισμάτων αὐτοῖς παρέμενεν, ἀλλ' ὅμοια πάν-
τα ὀστᾶ ἦν, ἄδηλα καὶ ἀνεπίγραφα, καὶ ὑπ' οὐδενὸς
ἔτι διακρίνεσθαι δυνάμενα. τοιγάρτοι ἐκεῖνα ὁ-
ρῶντι, ἐδόκει μοι ὁ τῶν ἀνθρώπων βίος πομπῇ τινι
μακρᾷ προσεοικέναι, χορηγεῖν δὲ καὶ διατάττειν
ἕκαστα ἡ τύχη, διάφορα καὶ ποικίλα τοῖς πομ-
πεύουσι τὰ σχήματα προσάπτουσα. τὸν μὲν γὰρ λαβοῦ-
σα ἡ τύχη, βασιλικῶς διεσκεύασε, τιάραν τε ἐπι-
θεῖσα, καὶ δορυφόρους παραδοῦσα, καὶ τὴν κεφαλὴν
στέψασα τῷ διαδήματι. τῷ δὲ οἰκέτου σχῆμα πε-
ριέθηκε, τὸν δέ τινα καλὸν εἶναι ἐκόσμησε, τὸν δὲ
ἄμορφον καὶ γελοῖον παρεσκεύασε. παντοδαπὴν
γὰρ οἶμαι δεῖν γενέσθαι τὴν θέαν. πολλάκις δὲ διὰ
μέσης τῆς πομπῆς μετέβαλε τὰ ἐνίων σχήματα,
οὐκ ἐῶσα ἐς τέλος διαπομπεῦσαι ὡς ἐτάχθησαν,
ἀλλὰ μεταμφιέσασα, τὸν μὲν Κροῖσον ἠνάγκασε
τὴν τοῦ οἰκέτου καὶ αἰχμαλώτου σκευὴν ἀναλαβεῖν,
τὸν δὲ Μαιάνδριον τέως ἐν τοῖς οἰκέταις πομπεύον-
τα, τὴν Πολυκράτους τυραννίδα μετενέδυσε.
καὶ μέχρι μέν τινος εἴασε χρῆσθαι τῷ σχήματι, ἐ-
πειδὰν δ' ὁ τῆς πομπῆς καιρὸς παρέλθῃ, τηνι-
καῦτα ἕκαστος ἀποδοὺς τὴν σκευὴν, καὶ ἀποδυ-
σάμενος τὸ σχῆμα μετὰ τοῦ σώματος, ὥσπερ ἦν
πρὸ τοῦ γίγνεται, μηδὲν τοῦ πλησίου διαφέρων.
ἔνιοι δ' ὑπ' ἀγνωμοσύνης, ἐπειδὰν ἀπαιτῇ τὸν
κόσμον ἐπιστᾶσα ἡ τύχη, ἄχθονταί γε καὶ ἀγα-
νακτοῦσιν,

νακτοῦσιν, ὥσπερ οἰκείων τινῶν στερισκόμενοι, καὶ
οὐχ ἃ πρὸς ὀλίγον ἐχρήσαντο ἀποδιδόντες. οἶμαι
δὲ καὶ σὲ τῶν ἐπὶ τῆς σκηνῆς πολλάκις ἑωρακέναι, τοὺς
τραγικοὺς ὑποκριτὰς τούτους πρὸς τὰς χρείας τῶν
δραμάτων, ἄρτι μὲν Κρέοντας, ἐνίοτε δὲ Πριά-
μους γιγνομένους, ἢ Ἀγαμέμνονας, καὶ ὁ αὐτὸς εἰ τύ-
χοι μικρὸν ἔμπροσθεν μάλα σεμνῶς, τὸ τοῦ Κέκρο-
πος ἢ Ἐρεχθέως σχῆμα μιμησάμενος, μετ' ὀλίγον
οἰκέτης προῆλθεν ὑπὸ τοῦ ποιητοῦ κεκελευσμέ-
νος. ἤδη δὲ πέρας ἔχοντος τοῦ δράματος, ἀπο-
δυσάμενος ἕκαστος αὐτῶν τὴν χρυσόπαστον ἐ-
κείνην ἐσθῆτα, καὶ τὸ προσωπεῖον ἀποθέμενος, καὶ
καταβὰς ἀπὸ τῶν ἐμβατῶν, πένης καὶ ταπεινὸς
περιέρχεται, οὐκ ἔτ' Ἀγαμέμνων ὁ Ἀτρέως, οὐδὲ
Κρέων ὁ Μενοικέως, ἀλλὰ Πῶλος Χαρικλέους Σου-
νιεὺς ὀνομαζόμενος, ἢ Σάτυρος ὁ Θεογείτονος
Μαραθώνιος. τοιαῦτα καὶ τὰ τῶν ἀνθρώπων πράγ-
ματά ἐστιν, ὥς τότε μοι ὁρῶντι ἔδοξεν. ΦΙ. εἰπέ
μοι ὦ Μένιππε, οἱ δὲ τοὺς πολυτελεῖς τούτους καὶ
ὑψηλοὺς τάφους ἔχοντες ὑπὲρ γῆς, καὶ στήλας καὶ
εἰκόνας καὶ ἐπιγράμματα, οὐδὲν τιμιώτεροι παρ'
αὐτοῖς εἰσι τῶν ἰδιωτῶν νεκρῶν; ΜΕΝ. ληρεῖς ὦ
οὗτος. εἰ γὰρ ἐθεάσω τὸν Μαυσωλὸν αὐτὸν, λέγω
δὲ τὸν Κᾶρα, τὸν ἐκ τοῦ τάφου περιβόητον, εὖ οἶδα,
ὅτι οὐκ ἂν ἐπαύσω γελῶν, οὕτω ταπεινῶς ἔρρι-
πτο ἐν παραβύστῳ που, λανθάνων ἐν τῷ λοιπῷ

δήμῳ τῶν νεκρῶν, ἐμοὶ δοκεῖν, τοσοῦτον ἀπολαύων τοῦ μνήματος, παρ' ὅσον ἐβαρύνετο τηλικοῦτον ἄχθος ἐπικείμενος. ἐπειδὰν γάρ, ὦ ἑταῖρε, ὁ Αἰακὸς ἀπομετρήσῃ ἑκάστῳ τὸν τόπον, δίδωσι δὲ τὸ μέγιστον οὐ πλέον ποδός, ἀνάγκη ἀγαπῶντα κατακεῖσθαι, πρὸς τὸ μέτρον συνεσταλμένον. πολλῷ δ' ἂν οἶμαι μᾶλλον ἐγέλας, εἰ ἐθεάσω τοὺς παρ' ἡμῖν βασιλέας καὶ σατράπας, πτωχεύοντας παρ' αὐτοῖς, καὶ ἤτοι ταριχοπωλοῦντας ὑπ' ἀπορίας, ἢ τὰ πρῶτα διδάσκοντας γράμματα, καὶ ὑπὸ τοῦ τυχόντος ὑβριζομένους, καὶ κατὰ κόρρης παιομένους, ὥσπερ τῶν ἀνδραπόδων τὰ ἀτιμότατα. Φίλιππον γοῦν τὸν Μακεδόνα ἐγὼ θεασάμενος, οὐδὲ κρατεῖν ἐμαυτοῦ δυνατὸς ἦν, ἐδείχθη δέ μοι ἐν γωνιδίῳ τινὶ μισθοῦ ἀκούμενος τὰ σαθρὰ τῶν ὑποδημάτων. πολλοὺς δὲ καὶ ἄλλους ἦν ἰδεῖν ἐν ταῖς τριόδοις μεταιτοῦντας, Ξέρξας λέγω καὶ Δαρείους καὶ Πολυκράτεις. Φι. ἄτοπα διηγῇ τὰ περὶ τῶν βασιλέων, καὶ μικροῦ δεῖν ἄπιστα. τί δὲ ὁ Σωκράτης ἔπραττε, καὶ Διογένης, καὶ εἴ τις ἄλλος τῶν σοφῶν; Μεν. ὁ μὲν Σωκράτης κἀκεῖ περιέρχεται διελέγχων ἅπαντας, σύνεισι δ' αὐτῷ Παλαμήδης καὶ Ὀδυσσεὺς καὶ Νέστωρ, καὶ εἴ τις ἄλλος λάλος νεκρός, ἔτι μέντοι ἐπεφύσητο αὐτῷ καὶ διῳδήκει ἐκ τῆς φαρμακοποσίας τὰ σκέλη, ὁ δὲ βέλτιστος Διογένης παροικεῖ μὲν

Σαρδα-

Σαρδαναπάλλῳ τῷ ἀσσυρίῳ, καὶ Μίδᾳ τῷ φρυγί, καὶ ἄλλοις τισὶ τῶν πολυτελῶν. ἀκούων δὲ οἰμωζόντων αὐτῶν, καὶ τὴν παλαιὰν τύχην ἀναμετρουμένων, γελᾷ τε καὶ τέρπεται, καὶ τὰ πολλὰ ὕπτιος κατακείμενος, ᾄδει μάλα τραχείᾳ καὶ ἀπηνεῖ τῇ φωνῇ, τὰς οἰμωγὰς αὐτῶν ἐπικαλύπτων, ὥστε ἀνιᾶσθαι τοὺς ἄνδρας καὶ διασκέπτεσθαι, μετοικεῖν οὐ φέροντας τὸν Διογένην. Φιλω. ταυτὶ μὲν ἱκανῶς. τί δὲ τὸ ψήφισμα ἦν, ὅπερ ἐν ἀρχῇ ἔλεγες κεκυρῶσθαι κατὰ τῶν πλουσίων; Μεν. εὖγε ὑπέμνησας. οὐ γὰρ οἶδ' ὅπως περὶ τούτου λέγειν προθέμενος, πάμπολυ ἀπεπλανήθην τοῦ λόγου. διατρίβοντος γάρ μου παρ' αὐτοῖς, προὔθεσαν οἱ πρυτάνεις ἐκκλησίαν περὶ τῶν κοινῇ συμφορόντων. ἰδὼν οὖν πολλοὺς συνθέοντας, ἀναμίξας ἐμαυτὸν τοῖς νεκροῖς, εὐθὺς εἷς καὶ αὐτὸς ἦν τῶν ἐκκλησιαστῶν. διῳκήθη μὲν οὖν καὶ ἄλλα, τελευταῖον δὲ τὸ περὶ τῶν πλουσίων, ἐπεὶ γὰρ αὐτῶν κατηγόρητο πολλὰ καὶ δεινά, βία, καὶ ἀλαζονεία, καὶ ὑπεροψία, καὶ ἀδικία, τέλος ἀναστάς τις τῶν δημαγωγῶν ἀνέγνω ψήφισμα τοιοῦτον.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0163

## ΨΗΦΙΣΜΑ.

Ἐπειδὴ πολλὰ καὶ παράνομα οἱ πλούσιοι δρῶσι παρὰ τὸν βίον, ἁρπάζοντες καὶ βιαζόμενοι, καὶ πάντα τρόπον τῶν πενήτων καταφρονοῦντες, δέδοκται τῇ βουλῇ καὶ τῷ δήμῳ, ἐπειδὰν ἀποθάνωσι, τὰ μὲν σώματα αὐτῶν κολάζεσθαι, καθάπερ καὶ τὰ τῶν ἄλλων πονηρῶν. τὰς δὲ ψυχὰς ἀναπεμφθείσας ἄνω ἐς τὸν βίον, καταλύεσθαι ἐς τοὺς ὄνους, ἄχρις ἂν ἐν τῷ τοιούτῳ διαγάγωσι μυριάδας ἐτῶν πέντε καὶ εἴκοσιν, ὄνοι ἐξ ὄνων γιγνόμενοι, καὶ ἀχθοφοροῦντες, καὶ ὑπὸ τῶν πενήτων ἐλαυνόμενοι, τοὐντεῦθεν δὲ λοιπὸν ἐξεῖναι αὐτοῖς ἀποθανεῖν. εἶπε τὴν γνώμην Κρανίων Σκελετίωνος νεκυσιεύς, φυλῆς ἀλιβαντίδος. τούτου ἀναγνωσθέντος τοῦ ψηφίσματος, ἐπεψήφισαν μὲν αἱ ἀρχαί, ἐπεχειροτόνησε δὲ τὸ πλῆθος, καὶ ἐνεβριμήσατο ἡ Βριμώ, καὶ ὑλάκτησεν ὁ κέρβερος. οὕτω γὰρ ἐντελῆ γίγνεται, καὶ κύρια τὰ ἀνεγνωσμένα. ταῦτα μὲν δή σοι τὰ ἐν τῇ ἐκκλησίᾳ. ἐγὼ δὲ οὗπερ ἀφίγμην ἕνεκα, τῷ Τειρεσίᾳ προσελθὼν, ἱκέτευον αὐτὸν τὰ πάντα διηγησάμενος εἰπεῖν πρός με, ποῖόν τινα ἡγεῖται τὸν ἄριστον βίον. ὁ δὲ γελάσας, ἔστι δὲ τυφλόν τι γερόντιον, καὶ ὠχρὸν καὶ λεπτόφωνον, ὦ τέκνον φησί, τὴν μὲν αἰτίαν οἶδά σου τῆς ἀπορίας, ὅτι παρὰ τῶν σοφῶν ἐγένετο, οὐ ταὐτὰ γιγνωσκόντων ἑαυτοῖς.

τοῖς. ἀτὰρ οὐ θέμις λέγειν πρὸς σέ, ἀπείρηται γὰρ ὑπὸ τοῦ ῥαδαμάνθυος. μηδαμῶς ἔφην ὦ πάτερ, ἀλλ' εἰπὲ καὶ μὴ περιίδῃς με σοῦ τυφλότερον περιιόντα ἐν τῷ βίῳ. ὁ δὲ δή με ἀπαγαγὼν, καὶ πολὺ τῶν ἄλλων ἀποσπάσας, ἠρέμα προσκύψας πρὸς τὸ οὖς φησίν· ὁ τῶν ἰδιωτῶν ἄριστος βίος καὶ σωφρονέστερος, ὥστε τῆς ἀφροσύνης παυσάμενος τοῦ μετεωρολογεῖν, καὶ τέλη καὶ ἀρχὰς ἐπισκοπεῖν, καὶ καταπτύσας τῶν σοφῶν τούτων συλλογισμῶν, καὶ τὰ τοιαῦτα λῆρον ἡγησάμενος, τοῦτο μόνον ἐξ ἅπαντος θηράσῃ, ὅπως τὸ παρὸν εὖ θέμενος, παραδράμῃς γελῶν τὰ πολλὰ, καὶ περὶ μηδὲν ἐσπουδακώς. ὡς εἰπὼν πάλιν ὥρτο κατ' ἀσφοδελὸν λειμῶνα. ἐγὼ δὲ καὶ γὰρ ἤδη ὀψὲ ἦν, ἄγε δὴ ὦ Μιθροβαρζάνη φημὶ, τί διαμέλλομεν, καὶ οὐκ ἄπιμεν αὖθις εἰς τὸν βίον; ὁ δὲ πρὸς ταῦτα, θάῤῥει φησὶν ὦ Μένιππε, ταχεῖαν γάρ σοι καὶ ἀπράγμονα ὑποδείξω ἀτραπόν. καὶ δὴ ἀπαγαγών με πρός τι χωρίον τοῦ ἄλλου ζοφοδέστερον, δείξας τῇ χειρὶ πόῤῥωθεν ἀμαυρὸν τι καὶ λεπτὸν ὥσπερ διὰ κλειθρίας ἐσρέον φῶς, ἐκεῖνο ἔφη ἐστὶ τὸ ἱερὸν τοῦ τροφωνίου, κἀκεῖθεν κατέρχονται οἱ ἀπὸ Βοιωτίας. ταύτην οὖν ἄνιθι, καὶ εὐθὺς ἔσῃ ἐπὶ τῆς ἑλλάδος. ἡσθεὶς δὲ τοῖς εἰρημένοις ἐγὼ, καὶ τὸν μάγον ἀσπασάμενος, χαλεπῶς μάλα διὰ τοῦ στομίου ἀνερπύσας, οὐκ οἶδ' ὅπως ἐν λεβαδείᾳ γίγνομαι.

# ΤΙΜΩΝ, Η ΜΙΣΑΝΘΡΩΠΟΣ.

## ΤΙΜΩΝ.

Ὦ Ζεῦ, φίλιε, καὶ ξένιε, καὶ ἑταιρεῖε, καὶ ἐφέστιε, καὶ ἀστεροπητὰ, καὶ ὅρκιε, καὶ νεφεληγερέτα, καὶ ἐρίγδουπε, καὶ εἴ τι σε ἄλλο οἱ ἐμβρόντητοι ποιηταὶ καλοῦσι, καὶ μάλιστα ὅταν ἀπορῶσι πρὸς τὰ μέτρα, τότε γὰρ αὐτοῖς πολυώνυμος γινόμενος ὑπερείδεις τὸ πῖπτον τοῦ μέτρου, καὶ ἀναπληροῖς τὸ κεχηνὸς τοῦ ῥυθμοῦ. ποῦ σοι νῦν ἡ ἐρισμάραγος ἀστραπὴ, καὶ ἡ βαρύβρομος βροντὴ, καὶ ὁ αἰθαλόεις καὶ ἀργήεις καὶ σμερδαλέος κεραυνός; ἅπαντα γὰρ ταῦτα λῆρος ἤδη ἀναπέφηνε, καὶ καπνὸς ποιητικὸς ἀτεχνῶς, ἔξω τοῦ πατάγου τῶν ὀνομάτων. τὸ δ' ἀοίδιμόν σου, καὶ ἑκηβόλον ὅπλον, καὶ πρόχειρον, οὐκ οἶδ' ὅπως τελέως ἀπέσβη καὶ ψυχρόν ἐστι, μὴ δὲ ὀλίγον σπινθῆρα ὀργῆς κατὰ τῶν ἀδικούντων διαφυλάττων. θᾶττον γοῦν τῶν ἐπιορκεῖν τις ἐπιχειρούντων ἕωλον θρυαλλίδα φοβηθείη ἂν, ἢ τὴν τοῦ πανδαμάτορος κεραυνοῦ φλόγα, οὕτω δαλόν τινα ἐπανατείνασθαι δοκεῖς αὐτοῖς, ὡς πῦρ μὲν ἢ καπνὸν ἀπ' αὐτοῦ μὴ δεδιέναι, μόνον δὲ τοῦτο οἴεσθαι ἀπολαύειν τοῦ τραύματος ὅτι ἀναπλησθήσονται τῆς ἀσβόλου. ὥστε ἤδη διὰ ταῦτά σοι καὶ ὁ Σαλμωνεὺς ἀντιβροντᾶν ἐτόλμα, οὐ πάνυ τι ἀπίθανος ὢν πρὸς οὕτω ψυχρὸν τὴν ὀργὴν Δία, θερμουργὸς ἀνὴρ, καὶ μεγαλαυχούμενος. πῶς

γάρ

γὰρ ὅπου γε καθάπερ ὑπὸ μανδραγόρᾳ καθεύδεις, ὃς οὔτε τῶν ἐπιορκούντων ἀκούεις, οὔτε τοὺς ἀδικοῦντας ἐπισκοπεῖς, λημᾷς δὲ καὶ ἀμβλυώττεις πρὸς τὰ γινόμενα, καὶ τὰ ὦτα ἐκκεκώφωσαι καθάπερ οἱ παρηβηκότες. ἐπεὶ νέος γε ἔτι καὶ ὀξύθυμος ὢν, καὶ ἀκμαῖος τὴν ὀργὴν πολλὰ κατὰ τῶν ἀδίκων καὶ βιαίων ἐποίεις, καὶ οὐδέ ποτε ἦγες τότε πρὸς αὐτοὺς ἐκεχειρίαν, ἀλλ' ἀεὶ ἐνεργὸς πάντως ὁ κεραυνὸς ἦν, καὶ ἡ αἰγὶς ἐπεσείετο, καὶ ἡ βροντὴ ἐπαταγεῖτο, καὶ ἡ ἀστραπὴ συνεχὲς ὥσπερ εἰς ἀκροβολισμὸν προηκοντίζετο, οἱ σεισμοὶ δὲ κοσκινηδόν, καὶ ἡ χιὼν σωρηδόν, καὶ ἡ χάλαζα πετρηδόν, καὶ ἵνα σοι φορτικῶς διαλέγωμαι, ὑετοί τε ῥαγδαῖοι καὶ βίαιοι. ποταμὸς ἑκάστη σταγών, ὥστε τηλικαύτη ἐν ἀκαρεῖ χρόνου ναυαγία ἐπὶ τοῦ Δευκαλίωνος ἐγένετο, ὡς ὑποβρυχίων ἁπάντων καταδεδυκότων, μόγις ἕν τι κιβώτιον περισωθῆναι προσοκεῖλαν τῷ Λυκωρεῖ, ζώπυρόν τι τοῦ ἀνθρωπίνου σπέρματος διαφυλάττον εἰς ἐπιγονὴν κακίας μείζονος. τοιγάρτοι ἀκόλουθα τῆς ῥᾳθυμίας τἀπίχειρα κομίζῃ παρ' αὐτῶν, οὔτε θύοντος ἔτι σοι τινός, οὔτε στεφανοῦντος, εἰ μή τις ἄρα πάρεργον ὀλυμπίων, καὶ οὗτος οὐ πάνυ ἀναγκαῖα ποιεῖν δοκῶν, ἀλλ' εἰς ἔθος τι ἀρχαῖον συντελῶν. καὶ κατ' ὀλίγον κρόνον σε ὦ θεῶν γενναιότατε ἀποφαίνουσι, παρωσάμενοι τῆς τιμῆς. ἐῶ λέγειν ὁποσάκις ἤδη σου τὸν νεὼν σεσυλήκα-

σιν. οἱ δὲ καὶ αὐτῷ ἐπὶ τὰς χεῖρας ὀλυμπιάσιν ἐπιβεβλήκασι, καὶ σὺ ὁ ὑψιβρεμέτης ὤκνησας ἢ ἀναστῆσαι τοὺς κύνας, ἢ τοὺς γείτονας ἐπικαλέσασθαι, ὡς βοηδρομήσαντες αὐτοὺς συλλάβοιεν, ἔτι συσκευαζομένους πρὸς τὴν φυγήν. ἀλλ' ὁ γενναῖος, καὶ γιγαντολέτωρ, καὶ τιτανοκράτωρ ἐκάθησο, τοὺς πλοκάμους περικειρόμενος ὑπ' αὐτῶν, δεκάπηχυν κεραυνὸν ἔχων ἐν τῇ δεξιᾷ. ταῦτα τοίνυν ὦ θαυμάσιε τίνα καὶ παύσεται οὕτως ἀμελῶς παρορώμενα; ἢ πότε κολάσεις τὴν τοσαύτην ἀδικίαν; πόσοι Φαέθοντες, ἢ Δευκαλίωνες ἱκανοὶ πρὸς οὕτως ὑπέραντλον ὕβριν τοῦ βίου; ἵνα γὰρ τὰ κοινὰ ἐάσας, τἀμὰ εἴπω, τοσούτους Ἀθηναίων εἰς ὕψος ἄρας, καὶ πλουσίους ἐκ πενεστάτων ἀποφήνας, καὶ πᾶσι τοῖς δεομένοις ἐπικουρήσας, μᾶλλον δὲ ἀθρόον εἰς εὐεργεσίαν τῶν φίλων ἐκχέας τὸν πλοῦτον, ἐπειδὴ πένης διὰ ταῦτα ἐγενόμην, οὐκέτι οὐδὲ γνωρίζομαι πρὸς αὐτῶν, οὔτε προσβλέπουσιν οἱ τέως ὑποπτήσσοντες καὶ προσκυνοῦντες, κἀκ τοῦ ἐμοῦ νεύματος ἀνηρτημένοι. ἀλλ' ἤν που καὶ ὁδῷ βαδίζων ἐντύχω τινὶ αὐτῶν, ὥσπερ τινὰ στήλην παλαιοῦ νεκροῦ ὑπτίαν, ὑπὸ τοῦ χρόνου ἀνατετραμμένην, παρέρχονται μηδὲ ἀναγνόντες. οἱ δὲ καὶ πόρρωθεν ἰδόντες ἑτέραν ἐκτρέπονται, δυσάντητον καὶ ἀποτρόπαιον θέαμα ὄψεσθαι ὑπολαμβάνοντες, τὸν

οὐ

οὐ πρὸ πολλοῦ σωτῆρα καὶ εὐεργέτην αὐτῶν γεγενημένον, ὥστε ὑπὸ τῶν κακῶν ἐπὶ ταύτην τὴν ἐσχατιὰν τραπόμενος, ἐναψάμενος διφθέραν, ἐργάζομαι τὴν γῆν, ὑπόμισθος ὀβολῶν τεσσάρων, τῇ ἐρημίᾳ καὶ τῇ δικέλλῃ προσφιλοσοφῶν ἐνταῦθα. τοῦτο γοῦν μοι δοκῶ κερδανεῖν, μηκέτι ὄψεσθαι πολλοὺς παρὰ τὴν ἀξίαν εὖ πράττοντας. ἀνιαρότερον γὰρ τοῦτό γε. ἤδη ποτὲ οὖν ὦ Κρόνου καὶ Ῥέας υἱέ, τὸν βαθὺν τοῦτον ὕπνον ἀποσεισάμενος, καὶ νήδυμον, ὑπὲρ τὸν Ἐπιμενίδην γὰρ κεκοίμησαι, καὶ ἀναρριπίσας τὸν κεραυνόν, ἢ ἐκ τῆς Οἴτης ἐναυσάμενος μεγάλην ποιήσας τὴν φλόγα, ἐπιδείξαιό τινα χολὴν ἀνδρώδους καὶ νεανικοῦ Διός, εἰ μὴ ἀληθῆ ἐστι τὰ ὑπὸ Κρητῶν περὶ σοῦ καὶ τῆς ἐκεῖ σου ταφῆς μυθολογούμενα. Ζ. τίς οὗτός ἐστιν ὦ Ἑρμῆ, ὁ κεκραγὼς ἐκ τῆς Ἀττικῆς παρὰ τὸν Ὑμηττὸν ἐν τῇ ὑπωρείᾳ, πιναρὸς ὅλος καὶ αὐχμῶν, καὶ ὑποδίφθερος; σκάπτει δὲ οἶμαι ἐπικεκυφώς, λάλος ἄνθρωπος, καὶ θρασύς, ἤπου φιλόσοφός ἐστιν, οὐ γὰρ ἂν οὕτως ἀσεβεῖς τοὺς λόγους διεξῄει καθ' ἡμῶν. Ε. τί φῂς ὦ πάτερ; ἀγνοεῖς Τίμωνα τὸν Ἐχεκρατίδου τὸν Κολυττέα; οὗτός ἐστιν ὁ πολλάκις ἡμᾶς καθ' ἱερῶν τελείων ἑστιάσας, ὁ νεόπλουτος, ὁ τὰς ὅλας ἑκατόμβας, παρ' ᾧ λαμπρῶς οἰώθαμεν ἑορτάζειν τὰ Διάσια. Ζεύς. φεῦ τῆς ἀλλαγῆς. ὁ καλὸς ἐκεῖνος, ὁ πλούσιος, περὶ ὃν οἱ τοσοῦ-

τοι φίλοι; τί παθὼν οὖν τοιοῦτός ἐστιν, αὐχμηρὸς, ἄθλιος, καὶ σκαπανεὺς, καὶ μισθωτὸς ὡς ἔοικεν, οὕτω βαρεῖαν καταφέρων τὴν δίκελλαν. ΕΡ. οὑτωσὶ μὲν εἰπεῖν, χρηστότης ἐπέτριψεν αὐτὸν καὶ φιλανθρωπία, καὶ ὁ πρὸς τοὺς δεομένους ἅπαντας οἶκτος. ὡς δὲ ἀληθεῖ λόγῳ, ἄνοια καὶ εὐήθεια καὶ ἀκρισία περὶ τοὺς φίλους, ὃς οὐ συνίει κόραξι καὶ λύκοις χαριζόμενος, ἀλλ' ὑπὸ γυπῶν τοσούτων ὁ κακοδαίμων κειρόμενος τὸ ἧπαρ, φίλους εἶναι αὐτοὺς καὶ ἑταίρους ᾤετο, ὑπ' εὐνοίας τῆς πρὸς αὐτὸν, χαίροντας τῇ βορᾷ. οἱ δὲ τὰ ὀστᾶ γυμνώσαντες ἀκριβῶς, καὶ περιτραγόντες, εἴ τις καὶ μυελὸς ἐνῆν ἐκμυζήσαντες, καὶ τοῦτον εὖ μάλα ἐπιμελῶς ᾤχοντο, αὗον αὐτὸν καὶ τὰς ῥίζας ὑποτετμημένον ἀπολιπόντες, οὐδὲ γνωρίζοντες ἔτι, οὐδὲ προσβλέποντες. πόθεν γὰρ ἢ ἐπικουροῦντες ἢ ἐπιδιδόντες ἐν τῷ μέρει, διὰ ταῦτα δικελλίτης καὶ διφθερίας ὡς ὁρᾷς ἀπολιπὼν ὑπ' αἰσχύνης τὸ ἄστυ μισθοῦ γεωργεῖ, μελαγχολῶν τοῖς κακοῖς, ὅτι οἱ πλουτοῦντες παρ' αὐτοῦ, μάλα ὑπεροπτικῶς παρέρχονται, οὐδὲ τοὔνομα εἰ Τίμων καλοῖτο εἰδότες. ΖΕΥΣ. καὶ μὴν οὐ παροπτέος ἀνὴρ, οὐδὲ ἀμελητέος. εἰκότα γὰρ ἠγανάκτει δυστυχῶν, ἐπεὶ καὶ ὅμοια ποιήσομεν τοῖς καταράτοις κόλαξιν ἐκείνοις, ἐπιλελησμένοι ἀνδρὸς τοσαῦτα ταύρων τε καὶ αἰγῶν πιότατα καύσαντος

ἡμῖν

ἡμῖν περὶ τῶν βωμῶν. ἔτι γοῦν ἐν ταῖς ῥισὶ τὴν κνίσαν αὐτῶν ἔχω, πλὴν ὑπ' ἀσχολίας τε καὶ θορύβου πολλοῦ τῶν ἐπιορκούντων καὶ βιαζομένων, καὶ ἁρπαζόντων, ἔτι δὲ καὶ φόβου τοῦ παρὰ τῶν ἱεροσυλούντων. πολλοὶ γὰρ οὗτοι καὶ δυσφύλακτοι, καὶ οὐδὲ ἐπ' ὀλίγον καταμῦσαι ἡμῖν ἐφιᾶσι, πολὺν ἤδη χρόνον οὐδ' ἀπέβλεψα εἰς τὴν Ἀττικὴν, καὶ μάλιστα ἐξ οὗ φιλοσοφία καὶ λόγων ἔριδες ἐπεπόλασαν αὐτοῖς. μαχομένων γὰρ πρὸς ἀλλήλους καὶ κεκραγότων, οὐδὲ ἐπακούειν ἐστὶ τῶν εὐχῶν. ὥστε ἢ ἐπιβυσάμενον χρὴ τὰ ὦτα καθῆσθαι, ἢ ἐπιτριβῆναι πρὸς αὐτῶν, ἀρετήν τινα καὶ ἀσώματα καὶ λήρους μεγάλῃ τῇ φωνῇ ξυνειρόντων. διὰ ταῦτά τοι καὶ τοῦτον ἀμεληθῆναι συνέβη πρὸς ἡμᾶς, οὐ φαῦλον ὄντα. ὅμως δὲ τὸν Πλοῦτον ὦ Ἑρμῆ παραλαβὼν, ἄπιθι παρ' αὐτὸν κατὰ τάχος, ἀγέτω δὲ ὁ Πλοῦτος καὶ τὸν Θησαυρὸν μετ' αὐτοῦ, καὶ μενέτωσαν ἄμφω παρὰ τῷ Τίμωνι, μὴ δὲ ἀπαλλαττέσθωσαν οὕτω ῥαδίως, κἂν ὅτι μάλιστα ὑπὸ χρηστότητος αὖθις ἐκδιώκῃ αὐτοὺς τῆς οἰκίας. περὶ δὲ τῶν κολάκων ἐκείνων, καὶ τῆς ἀχαριστίας ἣν ἐπεδείξαντο πρὸς αὐτὸν, καὶ αὖθις μὲν σκέψομαι, καὶ δίκην δώσουσιν, ἐπειδὰν τὸν κεραυνὸν ἐπισκευάσω. κατεαγμέναι γὰρ αὐτοῦ καὶ ἀπεστομωμέναι εἰσὶ δύο ἀκτῖνες αἱ μέγισται, ὁπότε φιλοτιμότερον

ἠκόντισα

ἠκόνιζα πρώην ἐπὶ τὸν σοφιστὴν Ἀναξαγόραν, ὃς
ἔπειθε τοὺς ὁμιλητὰς, μηδὲ ὅλως εἶναί τινας ἡμᾶς
τοὺς θεοὺς, ἀλλ' ἐκείνου μὲν διήμαρτον. ὑπερέσχε
γὰρ αὐτοῦ τὴν χεῖρα περικλῆς, ὁ δὲ κεραυνὸς εἰς
τὸ ἀνάκειον παρασκήψας, ἐκεῖνό τε κατέφλεξε,
καὶ αὐτὸς ὀλίγου δεῖν συνετρίβη παρὰ τὴν πέ-
τραν. πλὴν ἱκανὴ ἐν τοσούτῳ καὶ αὕτη τιμωρία
ἔσται αὐτοῖς, εἰ ὑπερπλουτοῦντα τὸν Τίμωνα ὁρῶ-
σιν. Ερ. οἷον ἦν τὸ μέγα κεκραγέναι, καὶ ὀχληρὸν
εἶναι, καὶ θρασύν, οὐ τοῖς δικαιολογοῦσι μόνοις, ἀλ-
λὰ καὶ τοῖς εὐχομένοις τοῦτο χρήσιμον. ἰδοὺ γὰρ αὐ-
τίκα μάλα πλούσιος ἐκ πενεστάτου καταστήσεται
ὁ Τίμων, βοήσας καὶ παρρησιασάμενος ἐν τῇ εὐ-
χῇ, καὶ ἐπιστρέψας τὸν Δία. εἰ δὲ σιωπῇ ἔσκαπτεν
ἐπικεκυφὼς, ἔτι ἂν ἔσκαπτεν ἀμελούμενος. Πλου.
ἀλλ' ἐγὼ οὐκ ἂν ἀπέλθοιμι ὦ Ζεῦ παρ' αὐτόν. Ζ.
διατί ὦ ἄριστε Πλοῦτε, καὶ ταῦτα ἐμοῦ κελεύσαν-
τος; Π. ὅτι νὴ Δία ὕβριζεν εἰς ἐμὲ, καὶ ἐξεφόρει,
καὶ εἰς πολλὰ κατεμέριζε, καὶ ταῦτα πατρῷον
αὐτῷ φίλον ὄντα, καὶ μόνον οὐχὶ δικράνοις με
ἐξεώθει τῆς οἰκίας, καθάπερ οἱ τὸ πῦρ ἐκ τῶν χει-
ρῶν ἀπορριπτοῦντες. αὖθις οὖν ἀπέλθω παρασί-
τοις, καὶ κόλαξι, καὶ ἑταίραις παραδοθησόμενος;
ἐπ' ἐκείνους ὦ Ζεῦ πέμπε με τοὺς αἰσθησομένους τῆς
δωρεᾶς, τοὺς περιέψοντας, οἷς τίμιος ἐγὼ καὶ περι-
πόθητος. οὗτοι δὲ οἱ λάροι τῇ πενίᾳ ξυνέστωσαν,
ἣν

ἣν προτιμῶσιν ἡμῶν, καὶ διφθέραν παρ' αὐτῆς λα-
βόντες καὶ δίκελλαν, ἀγαπάτωσαν ἄθλιοι, τέτ-
ταρας ὀβολοὺς ἀποφέροντες, οἱ δεκαταλάντους
δωρεὰς ἀμελητὶ προϊέμενοι. Ζεύς. οὐδὲν ἔτι τοιοῦ-
τον ὁ Τίμων ἐργάσεται περὶ σέ, πάνυ γὰρ αὐτὸν
ἡ δίκελλα πεπαιδαγώγηκεν, εἰ μὴ παντάπα-
σιν ἀνάλγητός ἐστι τὴν ὀσφύν, ὡς χρῆν σε αὐτὴν τῆς
πενίας προαιρεῖσθαι. σὺ μέντοι πάνυ μεμψίμοι-
ρος εἶναί μοι δοκεῖς, ὃς νῦν μὲν τὸν Τίμωνα αἰτιᾷ,
διότι σοι τὰς θύρας ἀναπετάσας, ἠφίει περινο-
στεῖν ἐλευθέρως, οὔτε ἀποκλείων, οὔτε ζηλοτυπῶν.
ἄλλοτε δὲ τοὐναντίον ἠγανάκτεις κατὰ τῶν πλου-
σίων, κατακεκλεῖσθαι λέγων πρὸς αὐτῶν ὑπὸ μοχ-
λοῖς καὶ κλεισί, καὶ σημείων ἐπιβολαῖς, ὡς μηδὲ
παρακύψαι σοι ἐς τὸ φῶς δυνατὸν εἶναι. ταῦτα
γοῦν ἀπωδύρου πρός με, ἀποπνίγεσθαι λέγων ἐν
πολλῷ τῷ σκότῳ, καὶ διὰ τοῦτο ὠχρὸς ἡμῖν ἐφαί-
νου, καὶ φροντίδος ἀνάπλεως, συνεσπακὼς τοὺς
δακτύλους πρὸς τὸ ἔθος τῶν συλλογισμῶν, καὶ
ἀποδράσεσθαι ἀπειλῶν, εἰ καιροῦ λάβοιο παρ' αὐ-
τῶν. καὶ ὅλως τὸ πρᾶγμα ὑπέρδεινον ἐδόκει σοι,
ἐν χαλκῷ, ἢ σιδηρῷ θαλάμῳ καθάπερ τὴν Δα-
νάην παρθενεύεσθαι ὑπ' ἀκριβέσι καὶ παμπονή-
ροις παιδαγωγοῖς ἀνατρεφόμενον τῷ τόκῳ καὶ
τῷ λογισμῷ. ἄτοπα γοῦν ποιεῖν ἔφασκες αὐ-
τούς, ἐρῶντας μὲν εἰς ὑπερβολήν, ἐξὸν δὲ ἀπολαύειν

οὐ τολμῶντας, οὐδὲ ἐπ' ἀδείας χρωμένους τῷ ὄν-
τι, κυρίους γε ὄντας, ἀλλὰ φυλάττειν ἐγρηγορότας,
ἐς τὸ σημεῖον καὶ τὸν μοχλὸν ἀσκαρδαμυκτὶ βλέ-
ποντας, ἱκανὴν ἀπόλαυσιν οἰομένους, οὐ τὸ αὐ-
τοὺς ἀπολαύειν ἔχειν, ἀλλὰ τὸ μηδενὶ μεταδιδό-
ναι τῆς ἀπολαύσεως, καθάπερ τὴν ἐν τῇ φάτνῃ
κύνα, μήτε αὐτὴν ἐσθίουσαν τῶν κριθῶν, μήτε τῷ
ἵππῳ πεινῶντι ἐπιτρέπουσαν. καὶ προσέτι γε καὶ
καταγελάσας αὐτῶν φειδομένων καὶ φυλαττόντων,
καὶ τὸ καινότατον αὐτοὺς ζηλοτυπούντων, ἀγνοούν-
των δὲ ὡς κατάρατος οἰκέτης, ἢ οἰκονόμος, ἢ παι-
δοτρίβης ὑπεισιὼν λαθραίως, ἐμπαροινήσει τὸν
κακοδαίμονα, καὶ ἀνέραστον δεσπότην, πρὸς ἀ-
μαυρόν τι καὶ μικρόστομον λυχνίδιον, καὶ διψα-
λέον θρυαλλίδιον, ἐπαγρυπνεῖν ἐάσας τοῖς τό-
κοις. πῶς οὖν οὐκ ἄδικον, πάλαι μὲν ταῦτα
αἰτιᾶσθαι, νῦν δὲ τῷ Τίμωνι τὰ ἐναντία ἐπικα-
λεῖν; ΠΛΟΥΤΟΣ. καὶ μὴν εἴγε τἀληθῆ ἐξετάζοις,
ἄμφω σοι εὔλογα δόξω ποιεῖν, τοῦ τε γὰρ Τίμω-
νος τὸ πάνυ τοῦτο ἀνειμένον, ἀμελὲς, καὶ οὐκ εὔ-
νοϊκὸν ὡς πρὸς ἐμὲ εἰκότως ἂν δοκοίη, τούς τε αὖ
κατάκλειστον ἐν θύραις καὶ σκότῳ φυλάττοντας
ὅπως αὐτοῖς παχύτερος γενοίμην, καὶ πιμελὴς,
καὶ ὑπέρογκος ἐπιμελουμένους, οὔτε προσαπτο-
μένους αὐτοὺς, οὔτε εἰς τὸ φῶς προάγοντας, ὡς μὴ
δὲ ὀφθείην πρός τινος, ἀνοήτους ἐνόμιζον εἶναι καὶ

ὑβριστὰς

ὑβρίσας, οὐδὲν ἀδικοῦσί με ὑπὸ χρυσοῖς τοῖς
δεσμοῖς καταστήσοντας, οὐκ εἰδότας ὡς μετὰ
μικρὸν ἀπίασιν ἄλλῳ τινὶ τῶν εὐδαιμόνων με κα-
ταλιπόντος. οὔτ' οὖν ἐκείνους, οὔτε τοὺς πάνυ
προχείρους εἰς ἐμὲ τούτους ἐπαινῶ, ἀλλὰ τοὺς ὅπερ
ἄριστόν ἐστι μέτρον ἐπιθέντας τῷ πράγματι, καὶ
μήτε ἀφεξομένους τὸ παράπαν, μήτε προησομέ-
νους τὸ ὅλον. σκόπει γὰρ ὦ Ζεῦ πρὸς τοῦ Διός, εἴ τις
νόμῳ γήμας γυναῖκα νέαν καὶ καλήν, ἔπειτα μή-
τε φυλάττοι μήτε ζηλοτυποῖ τὸ παράπαν, ἀ-
φεὶς καὶ βαδίζειν ἔνθα ἂν ἐθέλοι νύκτωρ καὶ μεθ'
ἡμέραν, καὶ ξυνεῖναι τοῖς βουλομένοις, μᾶλλον δὲ
αὐτὸς ἀπάγοι μοιχευθησομένην, ἀνοίγων τὰς θύ-
ρας καὶ μαστροπεύων, καὶ πάντας ἐπ' αὐτὴν κα-
λῶν, ἆρα ὁ τοιοῦτος ἐρᾶν δόξειεν ἄν; οὐ σύ γε ὦ
Ζεῦ τοῦτο φαίης ἄν, ἐρασθεὶς πολλάκις. εἰ δέ τις ἔμ-
παλιν ἐλευθέραν γυναῖκα εἰς τὴν οἰκίαν νόμῳ
παραλαβὼν ἐπ' ἀρότῳ παίδων γνησίων, ὁ δὲ
μήτε αὐτὸς προσάπτοιτο ἀκμαίας καὶ καλῆς παρ-
θένου, μήτε ἄλλῳ προσβλέπειν ἐπιτρέποι, ἄγονον
δὲ καὶ στεῖραν κατακλείσας παρθενεύοι, καὶ ταῦτα ἐ-
ρᾶν φάσκων, καὶ δῆλος ὢν ἀπὸ τῆς χρόας καὶ τῆς σαρκὸς
ἐκτετηκυίας, καὶ τῶν ὀφθαλμῶν ὑποδεδυκότων,
ἔσθ' ὅπως ὁ τοιοῦτος οὐ παραπαίειν δόξειεν ἄν, δέον παι-
δοποιεῖσθαι καὶ ἀπολαύειν τοῦ γάμου, καταμαραίνων
εὐπρόσωπον οὕτω καὶ ἐπέραστον κόρην, καθάπερ

ἱέρειαν

ἱδρύσειν τῇ θεσμοφόρῳ τρέφων διὰ παντὸς τοῦ βίου; ταῦτα καὶ αὐτὸς ἀγανακτῶ, πρὸς ἐνίων μὲν ἀτίμως λακτιζόμενος, καὶ λαφυσσόμενος, καὶ ἐξαντλούμενος. ὑπ᾽ ἐνίων δὲ, ὥσπερ στιγματίας δραπέτης πεπεδημένος. Ζεύς. τί οὖν ἀγανακτεῖς κατ᾽ αὐτῶν; διδόασι γὰρ ἄμφω καλὴν τὴν δίκην, οἱ μὲν ὥσπερ ὁ Τάνταλος ἄποτοι καὶ ἄγευστοι, καὶ ξηροὶ τὸ στόμα ἐπικεχηνότες μόνον τῷ χρυσίῳ. οἱ δὲ καθάπερ ὁ Φινεὺς, ἀπὸ τῆς φάρυγγος τὴν τροφὴν ὑπὸ τῶν ἁρπυιῶν ἀφαιρούμενοι. ἀλλ᾽ ἄπιθι ἤδη, σωφρονεστέρῳ παρὰ πολὺ τῷ Τίμωνι ἐντευξόμενος. Πλοῦτος. ἐκεῖνος γάρ ποτε παύσεται, ὥσπερ ἐκ κοφίνου τετρυπημένου, πρὶν ὅλως εἰσρυῆναί με κατὰ σπουδὴν ἐξαντλῶν, φθάσαι βουλόμενος τὴν ἐπιρροὴν, μὴ ὑπέραντλος εἰσπεσὼν ἐπικλύσω αὐτόν, ὥστε ἐς τὸν τῶν Δαναΐδων πίθον ὑδροφορήσειν μοι δοκῶ, καὶ μάτην ἐπαντλήσειν, τοῦ κύτους μὴ στέγοντος, ἀλλὰ πρὶν εἰσρυῆναι σχεδὸν ἐκχυθησομένου τοῦ ἐπιρρέοντος οὕτως, εὐρύτερον τὸ πρὸς τὴν ἔκχυσιν κεχηνὸς τοῦ πίθου, καὶ ἀκώλυτος ἡ ἔξοδος. Ζεύς. οὐκοῦν εἰ μὴ ἐμφράξηται τὸ κεχηνὸς τοῦτο, καὶ εἰς τὸ ἅπαξ ἀναπεπταμένον, ἐκχυθέντος ἐν βραχεῖ σου, ῥᾳδίως εὑρήσει τὴν διφθέραν αὖθις καὶ τὴν δίκελλαν ἐν τῇ τρυγὶ τοῦ πίθου. ἀλλ᾽ ἄπιτε ἤδη, καὶ πλουτίζετε αὐτόν. σὺ δὲ μέμνησο ὦ Ἑρμῆ ἐπανιὼν, πρὸς

πρὸς ἡμᾶς ἄγειν τοὺς κύκλωπας ἐκ τῆς αἴτνης,
ὅπως τὸν κεραυνὸν ἀκονήσαντες ἐπισκευάσω-
σιν, ὡς ἤδη γε τεθηγμένου αὐτοῦ δεησόμεθα. Ερ.
προΐωμεν ὦ πλοῦτε. τί τοῦτο ὑποσκάζεις; ἐλελή-
θεις με ὦ γεννάδα οὐ τυφλὸς μόνον, ἀλλὰ καὶ χω-
λὸς ὤν. Πλου. οὐκ ἀεὶ τοῦτο ὦ Ερμῆ, ἀλλ' ὁπόταν μὲν
ἀπίω παρά τινα πεμφθεὶς ὑπὸ τοῦ Διός, οὐκ οἶδ'
ὅπως βραδύς εἰμι καὶ χωλὸς ἀμφοτέροις, ὡς μό-
λις τελεῖν ἐπὶ τὸ τέρμα, προγηράσαντος ἐνίοτε τοῦ
περιμένοντος. ὁπόταν δὲ ἀπαλλάττεσθαι δέῃ,
πτηνὸν ὄψει πολὺ τῶν ὀνείρων ὠκύτερον. ἅμα γοῦν
ἔπεσεν ἡ ὕσπληγξ, κἀγὼ ἤδη ἀνακηρύττομαι νε-
νικηκὼς ὑπερπηδήσας τὸ στάδιον, οὐδὲ ἰδόντων
ἐνίοτε τῶν θεατῶν. Ερ. οὐκ ἀληθῆ ταῦτα φής.
ἐγὼ δὲ καὶ πολλοὺς ἂν εἰπεῖν ἔχοιμί σοι, χθὲς μὲν
οὐδὲ ὀβολὸν ὥστε πρίασθαι βρόχον ἐσχηκότας, ἄ-
φνω δὲ τήμερον πλουσίους καὶ πολυτελεῖς ἐπὶ λευ-
κοῦ ζεύγους ἐξελαύνοντας, οἷς οὐδὲ κἂν ὄνος ὑπῆρ-
ξε πώποτε, καὶ ὅμως πορφυροῖ καὶ χρυσόχειρες
περιέρχονται, οὐδ' αὐτοὶ πιστεύοντες οἶμαι, ὅτι
μὴ ὄναρ πλουτοῦσιν. Πλου. ἑτεροῖον τοῦτ' ἐστὶν ὦ
Ερμῆ, καὶ οὐχὶ τοῖς ἐμαυτοῦ ποσὶ βαδίζω τότε,
οὐδὲ ὁ ζεὺς, ἀλλ' ὁ Πλούτων ἀποστέλλει με παρ' αὐ-
τοὺς, ἅτε πλουτοδότης καὶ μεγαλόδωρος καὶ αὐ-
τὸς ὤν. δηλοῖ γοῦν καὶ τῷ ὀνόματι. ἐπειδὰν τοί-
νυν μετοικισθῆναι δέῃ με παρ' ἑτέρου πρὸς ἕτε-

ρον, ἐν δέλτον ἐμβαλόντες με καὶ κατασημηνάμενοι ἐπιμελῶς, φορηδὸν ἀράμενοι μετακομίζουσι. καὶ ὁ μὲν νεκρὸς ἐν σκοτεινῷ που τῆς οἰκίας πρόκειται, ὑπὲρ τὰ γόνατα παλαιᾷ τῇ ὀθόνῃ σκεπόμενος, περιμάχητος ταῖς γαλαῖς. ἐμὲ δὲ οἱ ἐπελπίσαντες, ἐν τῇ ἀγορᾷ περιμένουσι κεχηνότες, ὥσπερ τὴν χελιδόνα προσπετομένην, τετριγότες οἱ νεοττοί. ἐπεὶ δ᾽ ἂν ᾖ τὸ σημεῖον ἀφαιρεθῇ, καὶ τὸ λίνον ἐντμηθῇ, καὶ ἡ δέλτος ἀνοιχθῇ, καὶ ἀνακηρυχθῇ μου ὁ καινὸς δεσπότης, ἤτοι συγγενής τις, ἢ κόλαξ, ἢ καταπύγων οἰκέτης, ἐκ παιδικῶν τίμιος, ὑπεξυρημένος ἔτι τὴν γνάθον, ἀντὶ ποικίλων καὶ παντοδαπῶν ἡδονῶν ἃς ἤδη ἔξωρος ὢν ὑπηρέτησεν αὐτῷ, μέγα τὸ μίσθωμα ὁ γενναῖος ἀπολαβὼν, ἐκεῖνος μὲν ὅς τις ἂν ᾖ ποτὲ ἁρπασάμενός με αὐτῇ δέλτῳ θέει φέρων, ἀντὶ τοῦ τέως πυῤῥίου, ἢ δρόμωνος, ἢ τιβίου, μεγακλῆς, ἢ μεγάβυζος, ἢ πρώταρχος μετονομασθεὶς, τοὺς μάτην κεχηνότας ἐκείνους εἰς ἀλλήλους ἀποβλέποντας καταλιπὼν, ἀληθὲς ἄγοντας τὸ πένθος, οἷος αὐτοὺς ὁ θύννος ἐκ μυχοῦ τῆς σαγήνης διέφυγεν, οὐκ ὀλίγον τὸ δέλεαρ καταπιών. ὁ δὲ ἐμπεσὼν ἀθρόως εἰς ἐμὲ ἀπειρόκαλος καὶ παχύδερμος ἄνθρωπος, ἔτι τὴν πέδην πεφρικὼς, καὶ εἰ παριὼν ἄλλος μαστίξειέ τις ὄρθιον ἐφιστὰς τὸ οὖς καὶ τὸν μυλῶνα, ὥσπερ τὸ ἀνάκτορον προσκυνῶν,

οὐκ

οὐκέτι φορητὸς ἐστὶ τοῖς ἐντυγχάνουσιν, ἀλλὰ τούς τε ἐλευθέρους ὑβρίζει, καὶ τοὺς ὁμοδούλους μαστιγοῖ ἀποπειρώμενος, εἰ καὶ αὐτῷ τὰ τοιαῦτα ἔξεστιν, ἄχρις ἂν ἢ εἰς πορνίδιόν τι ἐμπεσὼν, ἢ ἱπποτροφίας ἐπιθυμήσας, ἢ κόλαξι παραδοὺς ἑαυτὸν ὀμνύουσιν ἦ μὴν εὐμορφότερον μὲν Νιρέως εἶναι αὐτὸν, εὐγενέστερον δὲ τοῦ Κέκροπος ἢ Κόδρου, συνετώτερον δὲ τοῦ Ὀδυσσέως, πλουσιώτερον δὲ συνάμα Κροίσων ἑκκαίδεκα, ἐν ἀκαρεῖ τοῦ χρόνου ἄθλιος ἐκχέῃ τὰ κατ' ὀλίγον ἐκ πολλῶν ἐπιορκιῶν καὶ ἁρπαγῶν καὶ πανουργιῶν συνειλεγμένα.

Ερ. αὐτά που σχεδὸν φὴς τὰ γιγνόμενα. ὁπόταν δ' οὖν αὐτόπους βαδίζῃς, πῶς οὕτω τυφλὸς ὢν εὑρίσκεις τὴν ὁδὸν, ἢ πῶς διαγινώσκεις ἐφ' οὓς ἄν σε ὁ Ζεὺς ἀποστείλῃ, κρίνας εἶναι τοῦ πλουτεῖν ἀξίους; Πλου. οἴει γὰρ εὑρίσκειν με οἵτινές εἰσι; Ερ. μὰ τὸν Δία οὐ πάνυ. οὐ γὰρ Ἀριστείδην καταλιπὼν, Ἱππονίκῳ καὶ Καλλίᾳ προσῄεις, καὶ πολλοῖς ἄλλοις Ἀθηναίων, οὐδὲ ὀβολοῦ ἀξίοις. πλὴν ἀλλὰ τί πράττεις καταπεμφθείς; Πλου. ἄνω καὶ κάτω πλανῶμαι περινοστῶν, ἄχρις ἂν λάθω τινὶ ἐμπεσών. ὁ δὲ ὅστις ἂν πρῶτός μοι περιτύχῃ ἀπαγαγὼν παρ' αὐτὸν ἔχει, σὲ τὸν Ερμῆν, ἐπὶ τῷ παραλόγῳ τοῦ κέρδους προσκυνῶν. Ερ. οὐκοῦν ἐξηπάτηται ὁ Ζεὺς, οἰόμενός σε κατὰ τὰ αὐτῷ δοκοῦντα πλουτίζειν ὅσους ἂν οἴηται τοῦ πλουτεῖν ἀξίους;

Πλ. καὶ μάλα δικαίως ὦ 'γαθέ, ὅς γε τυφλὸν
ὄντα εἰδώς, ἔπεμπεν ἀναζητήσοντα δυσεύρε-
τον οὕτω χρῆμα καὶ πρὸ πολλοῦ ἐκλελοιπὸς ἐκ τοῦ
βίου, ὅπερ οὐδ' ὁ Λυγκεὺς ἂν ἐξεύροι ῥᾳδίως, ἀ-
μαυρὸν οὕτω καὶ μικρὸν ὄν. τοιγαροῦν ἅτε τῶν μὲν
ἀγαθῶν ὀλίγων ὄντων, πονηρῶν δὲ πλείστων ἐν
ταῖς πόλεσι τὸ πᾶν ἐπεχόντων, ῥᾷον ἐς τοὺς τοιού-
τους ἐμπίπτω περιιών, καὶ σαγηνεύομαι πρὸς αὐ-
τῶν. Ερ. εἶτα πῶς ἐπειδὰν καταλίπῃς αὐ-
τοὺς ῥᾳδίως φεύγεις, οὐκ εἰδὼς τὴν ὁδόν; Πλ.
ὀξυδερκὴς τότε πως καὶ ἀρτίπους γίγνομαι πρὸς
μόνον τὸν καιρὸν τῆς φυγῆς. Ερ. ἔτι δή μοι καὶ
τοῦτο ἀπόκριναι, πῶς τυφλὸς ὤν, εἰρήσεται γάρ,
καὶ προσέτι ὠχρὸς καὶ βαρὺς ἐκ τοῖν σκελοῖν, το-
σούτους ἐραστὰς ἔχεις, ὥστε πάντας ἀποβλέπειν
εἰς σέ, καὶ τυχόντας μὲν εὐδαιμονεῖν οἴεσθαι, εἰ δὲ
ἀποτύχοιεν, οὐκ ἀνέχεσθαι ζῶντας. οἶδα γοῦν τι-
νας οὐκ ὀλίγους αὐτῶν οὕτω σου δυσέρωτας ὄντας,
ὥστε καὶ εἰς βαθυκήτεα πόντον φέροντες, ἔῤῥι-
ψαν αὑτούς, καὶ πετρῶν κατηλιβάτων ὑπερο-
ρᾶσθαι νομίζοντες ὑπὸ σοῦ, ὅτι περ οὐδὲ τὴν ἀρ-
χὴν ἑώρας αὐτούς. πλὴν ἀλλὰ καὶ σὺ ἂν εὖ οἶδα,
ὅτι ὁμολογήσειας εἴ τι ξυνίης σαυτοῦ, κορυβαν-
τιᾶν αὐτούς, ἐρωμένῳ τοιούτῳ ἐπιμεμηνότας.
Πλ. οἴει γὰρ τοιοῦτον οἷος εἰμὶ ὁρᾶσθαι αὐτοῖς χω-
λὸν ἢ τυφλόν, ἢ ὅσα ἄλλα μοι πρόσεστιν; Ερ. ἀλλὰ

πῶς

πῶς ὦ Πλοῦτε, εἰ μὴ τυφλοὶ καὶ αὐτοὶ πάντες εἰσί; Πλου. οὐ τυφλοὶ ὦ ἄριστε, ἀλλ' ἡ ἄγνοια καὶ ἡ ἀπάτη, αἵπερ νῦν κατέχουσι τὰ πάντα, ἐπισκιάζουσιν αὐτούς. ἔτι δὲ καὶ αὐτὸς ὡς μὴ παντάπασιν ἄμορφος εἴην, προσωπεῖον περιθέμενος ἐρασμιώτατον, διάχρυσον καὶ λιθοκόλλητον, καὶ ποικίλα ἐνδὺς, ἐντυγχάνω αὐτοῖς. οἱ δὲ αὐτοπρόσωπον οἰόμενοι ὁρᾶν τὸ κάλλος, ἐρῶσι καὶ ἀπόλλυνται μὴ ἐντυγχάνοντες, ὡς εἴ γέ τις αὐτοῖς ὅλον ἀπογυμνώσας, ἐπέδειξέ με, δῆλον ὡς κατεγίνωσκον ἂν αὑτῶν ἀμβλυώττοντες τὰ τηλικαῦτα, καὶ ἐρῶντες ἀνεράστων καὶ ἀμόρφων πραγμάτων.

Ερ. τί οὖν ὅτι ἐν αὐτῷ ἤδη τῷ πλουτεῖν γενόμενοι, καὶ τὸ προσωπεῖον αὐτοὶ περιθέμενοι, ἔτι ἐξαπατῶνται, καὶ ἤν τις ἀφαιρῆται αὐτοὺς, θᾶττον ἂν τὴν κεφαλὴν ἢ τὸ προσωπεῖον πρόοιντο; οὐ γὰρ δὴ καὶ τότε ἀγνοεῖν εἰκὸς, αὐτοὺς ὡς ἐπίχριστος ἡ εὐμορφία ἐστὶν, ἔνδοθεν τὰ πάντα ὁρῶντας.

Πλου. οὐκ ὀλίγα ὦ Ἑρμῆ, καὶ πρὸς τοῦτό μοι συναγωνίζεται. Ερ. τὰ ποῖα; Πλου. ἐπειδάν τις ἐντυχὼν τὸ πρῶτον ἀναπετάσας τὴν θύραν εἰσδέχεταί με, συμπαρεισέρχεται μετ' ἐμοῦ λαθὼν ὁ τῦφος καὶ ἡ ἄνοια, καὶ ἡ μεγαλαυχία, καὶ ἡ μαλακία, καὶ ὕβρεις, καὶ ἀπάτη, καὶ ἄλλα ἄττα μυρία, ὑπὸ δὴ τούτων ἁπάντων καταληφθεὶς τὴν ψυχὴν, θαυμάζει τε τὰ οὐ θαυμαστὰ, καὶ ὀρέγεται τῶν

φρουρητῶν, καὶ μὲ τὸν πάντων ἐκείνων πατέρα τῶν εἰσεληλυθότων κακῶν τέθνηκε, δορυφορούμενον ὑπ' αὐτῶν. ὃς ταῦτα πρότερον πάθοι ἂν, ἢ ἐμὲ πειραθεὶς ὑπομείνειεν ἄν. Ερ. ὡς δὲ λεῖος εἶ ὦ Πλοῦτε, καὶ ὀλισθηρός, καὶ δυσκάθεκτος, καὶ διαφευκτικός, οὐδεμίαν ἀντιλαβὴν παρεχόμενος βεβαίαν, ἀλλ' ὥσπερ ἐγχέλεις ἢ οἱ ὄφεις διὰ τῶν δακτύλων διαπίπτεις οὐκ οἶδα ὅπως. ἡ πενία δ' ἔμπαλιν ἰξώδης τε, καὶ εὐλαβής, καὶ μυρία τὰ ἄγκιστρα ἐκπεφυκότα ἐξ ἅπαντος τοῦ σώματος ἔχουσα, ὡς πλησιάσαντας εὐθὺς ἔχεσθαι, καὶ μὴ ἔχειν ῥᾳδίως ἀπολυθῆναι. ἀλλὰ μεταξὺ ἤδη φλυαροῦντας ἡμᾶς πρᾶγμα οὐ μικρὸν διέλαθε. Πλου. τὸ ποῖον; Ερ. ὅτι τὸν θησαυρὸν οὐκ ἐπηγαγόμεθα, οὗπερ ἔδει μάλιστα. Πλοῦ. θάρρει τούτου γε ἕνεκα, ἐν τῇ γῇ αὐτὸν καταλείπων ἀνέρχομαι παρ' ὑμᾶς, ἐπισκήψας ἔνδον μένειν ἐπικλεισάμενον τὴν θύραν, ἀνοίγειν δὲ μηδενί, ἢν μὴ ἐμοῦ ἀκούσῃ βοήσαντος. Ερ. οὐκοῦν ἐπιβαίνωμεν ἤδη τῆς Ἀττικῆς. καί μοι ἕπου ἐχόμενος τῆς χλαμύδος, ἄχρις ἂν πρὸς τὴν ἐσχατιὰν ἀφίκωμαι. Πλοῦ. εὖ ποιεῖς ὦ Ερμῆ χειραγωγῶν, ἐπεὶ ἤν γε ἀπολίπῃς με, ὑπερβόλῳ τάχα ἢ κλέωνι ἐμπεσοῦμαι περινοστῶν. ἀλλὰ τίς ὁ ψόφος οὗτός ἐστι, καθάπερ σιδήρου πρὸς λίθον; Ερ. ὁ Τίμων οὑτοσὶ σκάπτει πλησίον, ὀρεινὸν καὶ ὑπόλιθον γήδιον. παπαί,

καὶ

καὶ ἡ πενία πάρεστι, καὶ ὁ πόνος ἐκεῖνος, ἡ καρτερία τε καὶ ἡ σοφία, καὶ ἡ ἀνδρία, καὶ ὁ τοιοῦτος ὄχλος τῶν ὑπὸ τῷ λιμῷ ταττομένων ἁπάντων, πολὺ ἀμείνους τῶν σῶν δορυφόρων. Πλοῦ. τί οὖν οὐκ ἀπαλλαττόμεθα ὦ Ἑρμῆ τὴν ταχίστην; οὐ γὰρ ἄν τι ἡμεῖς δράσαιμεν ἀξιόλογον πρὸς ἄνδρα, ὑπὸ τηλικούτου στρατοπέδου περιεσχημένον. Ερ. ἄλλως ἔδοξε τῷ Διί, μὴ ἀποδειλιῶμεν οὖν. Πεν. ποῖ τοῦτον ἀπάγεις ὦ ἀργειφόντα, χειραγωγῶν; Ερ. ἐπὶ τουτονὶ τὸν Τίμωνα ἐπέμφθημεν ὑπὸ τοῦ Διός. Πεν. νῦν ὁ Πλοῦτος ἐπὶ Τίμωνα, ὁπότε αὐτὸν ἐγὼ κακῶς ἔχοντα ὑπὸ τῆς τρυφῆς παραλαβοῦσα, τουτοισὶ παραδοῦσα τῇ σοφίᾳ καὶ τῷ πόνῳ, γενναῖον ἄνδρα καὶ πολλοῦ ἄξιον ἀπέδειξα. οὕτως ἄρα εὐκαταφρόνητος ὑμῖν ἡ πενία δοκῶ, καὶ εὐαδίκητος, ὥσθ' ὃ μόνον κτῆμα εἶχον, ἀφαιρεῖσθαί με ἀκριβῶς πρὸς ἀρετὴν ἐξειργασμένον, ἵν' αὖθις ὁ Πλοῦτος παραλαβὼν αὐτὸν ὕβρει καὶ τύφῳ ἐγχειρίσας ὅμοιον, τῷ πάλαι μαλθακὸν καὶ ἀγεννῆ καὶ ἀνόητον ἀποφήνας, ἀποδῷ πάλιν ἐμοὶ ῥάκος ἤδη γεγενημένον. Ερ. ἔδοξε ταῦτα ὦ πενία τῷ Διί. Πεν. ἀπέρχομαι. καὶ ὑμεῖς δὲ ὦ πόνε καὶ σοφία καὶ οἱ λοιποί, οἱ ἀκολουθεῖτέ μοι. οὗτος δὲ τάχα εἴσεται οἵαν με οὖσαν ἀπολείψει, ἀγαθὴν συνεργὸν καὶ διδάσκαλον τῶν ἀρίστων, ᾗ συνὼν

ὑγιαίνος μὲν τὸ σῶμα, ἐῤῥωμένος δὲ τὴν γνώμην διετέλεσεν, αὐτουργὸς βίον ζῶν, καὶ πρὸς αὑτὸν ἀποβλέπων, τὰ δὲ περιττὰ καὶ πολλὰ ταῦτα ὥσπερ ἐστὶν ἀλλότρια ὑπολαμβάνων. Ερ. ἀπέρχονται, ἡμεῖς δὲ προσίωμεν αὐτῷ. Τί. τίνες ἐστὲ ὦ κατάρατοι; ἢ τί βουλόμενοι δεῦρο ἥκετε, ἄνδρα ἐργάτην καὶ μισθοφόρον ἐνοχλήσοντες; ἀλλ' οὐ χαίροντες ἄπιτε μιαροὶ πάντες ὄντες, ἐγὼ γὰρ ὑμᾶς αὐτίκα μάλα βάλλων τοῖς βώλοις καὶ τοῖς λίθοις συντρίψω. Ερ. μηδαμῶς ὦ Τίμων μὴ βάλῃς, οὐ γὰρ ἀνθρώπους ὄντας βαλεῖς, ἀλλ' ἐγὼ μὲν Ερμῆς εἰμι, οὗτος δὲ ὁ Πλοῦτος. ἔπεμψε δὲ ὁ Ζεὺς, ἐπακούσας τῶν εὐχῶν. ὥστε ἀγαθῇ τύχῃ δέχου τὸν ὄλβον, ἀποστὰς τῶν πόνων. Τί. καὶ ὑμεῖς οἰμώξεσθε ἤδη, καίτοι θεοὶ ὄντες ὥς φατε. πάντας γὰρ ἅμα καὶ θεοὺς καὶ ἀνθρώπους μισῶ. τουτονὶ δὲ τὸν τυφλὸν, ὅστις ἂν ᾖ, καὶ ἐπιτρίψειν μοι δοκῶ τῇ δικέλλῃ. Πλου. ἀπίωμεν ὦ Ερμῆ πρὸς τοῦ Διὸς, μελαγχολᾶν γὰρ ὁ ἄνθρωπος οὐ μετρίως μοι δοκεῖ, μή τι κακὸν ἀπέλθω προσλαβών. Ερ. μηδὲν σκαιὸν ὦ Τίμων, ἀλλὰ τὸ πάνυ τοῦτο ἄγριον καὶ τραχὺ καταβαλὼν, προτείνας τὼ χεῖρε λάμβανε τὴν ἀγαθὴν τύχην, καὶ πλούτει πάλιν, καὶ ἴσθι Αθηναίων τὰ πρῶτα, καὶ ὑπερόρα τῶν ἀχαρίστων ἐκείνων μόνος αὐτὸς εὐδαιμονῶν. Τί. οὐδὲν ὑμῶν δέομαι, μὴ ἐνοχλεῖτέ μοι, ἱκανὸς ἐμοὶ πλοῦ-

τος

τες ἡ δίκελλα, τὰ δ' ἄλλα εὐδαιμονέστατος εἶναι, μηδενός μοι πλησιάζοντος. Ερ. οὕτως ὦ τᾶν ἀπανθρώπως τόνδε φέρω Διῒ μῦθον ἀπηνέα τε κρατερόν τε; καὶ μὴν εἰκὸς ἦν μισάνθρωπον μὲν εἶναί σε, τοσαῦτα ὑπ' αὐτῶν δεινὰ πεπονθότα. μισόθεον δὲ μηδαμῶς, οὕτως ἐπιμελουμένων σου τῶν θεῶν. Τί. ἀλλὰ σοὶ μὲν ὦ Ερμῆ καὶ τῷ Διῒ πλείστη χάρις τῆς ἐπιμελείας, τουτονὶ δὲ τὸν Πλοῦτον οὐκ ἂν λάβοιμι. Ερ. τί δή; Τί. ὅτι καὶ πάλαι μυρίων κακῶν μοι αἴτιος οὗτος κατέστη, κόλαξί τε παραδοὺς, καὶ ἐπιβούλους ἐπαγαγὼν, καὶ μῖσος ἐπεγείρας, καὶ ἡδυπαθείᾳ διαφθείρας, καὶ ἐπίφθονον ἀποφήνας. τέλος δὲ ἄφνω καταλιπὼν, οὕτως ἀπίστως καὶ προδοτικῶς. ἡ βελτίστη δὲ πενία πόνοις με τοῖς ἀνδρικωτάτοις καταγυμνάσασα καὶ μετ' ἀληθείας καὶ παρρησίας προσομιλοῦσα, τά τε ἀναγκαῖα κάμνοντι παρεῖχε, καὶ τῶν πολλῶν ἐκείνων καταφρονεῖν ἐπαίδευεν, ἐξ αὐτοῦ ἐμοῦ τὰς ἐλπίδας ἀπαρτήσασά μοι τοῦ βίου, καὶ δείξασα ὅστις ἦν ὁ πλοῦτος ὁ ἐμός, ὃν οὔτε κόλαξ θωπεύων, οὔτε συκοφάντης φοβῶν, οὐ δῆμος παροξυνθεὶς, οὐκ ἐκκλησιαστὴς ψηφοφορήσας, οὐ τύραννος ἐπιβουλεύσας ἀφελέσθαι δύναιτ' ἄν. ἐρρωμένος τοιγαροῦν ὑπὸ τῶν πόνων, τουτονὶ τὸν ἀγρὸν φιλοπόνως ἐπεργαζόμενος, οὐδὲν ὁρῶν τῶν ἐν ἄστει κακῶν, ἱκανὰ καὶ διαρκῆ

ἔχω τὰ ἄλφιτα παρὰ τῆς δικέλλης. ὥστε παλίνδρομος ἄπιθι ὦ Ἑρμῆ, τὸν Πλοῦτον ἀπαγαγὼν τῷ Διΐ. ἐμοὶ δὲ τοῦτο ἱκανὸν ἦν, πάντας ἀνθρώπους ἡβηδὸν οἰμώζειν ποιῆσαι. Ερ. μηδαμῶς ὦ γαθέ. οὐ γὰρ πάντες εἰσὶν ἐπιτήδειοι πρὸς οἰμωγήν. ἀλλ' ἔα τὰ ὀργίλα ταῦτα, καὶ μειρακιώδη, καὶ τὸν Πλοῦτον παράλαβε. οὔτοι ἀπόβλητά εἰσι τὰ δῶρα τὰ παρὰ τοῦ Διός. Πλου. Βούλει ὦ Τίμων δικαιολογήσωμαι πρὸς σέ, ἢ χαλεπαίνεις μοι λέγοντι; Τί. λέγε, μὴ μακρὰ μέντοι, μὴ δὲ μετὰ προοιμίων, ὥσπερ οἱ ἐπίτριπτοι ῥήτορες. ἀνέξομαι γάρ σε ὀλίγα λέγοντα, διὰ τὸν Ἑρμῆν τουτονί.

Πλου. ἐχρῆν μὲν ἴσως καὶ μακρὰ εἰπεῖν, οὕτω πολλὰ ὑπὸ σοῦ κατηγορηθέντα. ὅμως δὲ ὅρα, εἴ τι σε ὡς φὴς ἠδίκηκα, ὃς τῶν μὲν ἡδίστων ἁπάντων αἴτιός σοι κατέστην, τιμῆς, καὶ προεδρίας, καὶ στεφάνων, καὶ τῆς ἄλλης τρυφῆς. περίβλεπτος δέ τοι καὶ ἀοίδιμος δι' ἐμὲ ἦσθα, καὶ περισπούδαστος. εἰ δέ τι χαλεπὸν ἐκ τῶν κολάκων πέπονθας, ἀναίτιος ἐγώ σοι. μᾶλλον δὲ αὐτὸς ἠδίκημαι τοῦτο ὑπὸ σοῦ, διότι με οὕτως ἀτίμως ὑπέβαλλες ἀνδράσι καταράτοις, ἐπαινοῦσι, καὶ καταγοητεύουσι, καὶ πάντα τρόπον ἐπιβουλεύουσί μοι. καὶ τό γε τελευταῖον ἔφησθα, ὡς προδέδωκά σε. τοὐναντίον δὲ αὐτὸς ἐγκαλέσαιμί σοι πάντα τρόπον ἀπελαθεὶς ὑπὸ σοῦ, καὶ ἐπὶ κεφαλὴν ἐξωσθεὶς τῆς

οἰκίας.

οἰκίας. τοιγαροῦν ἀντὶ μαλακῆς χλαμύδος, ταύτην τὴν διφθέραν ἡ τιμιωτάτη σοι Πενία περιτέθεικεν. ὥστε μάρτυς ὁ Ἑρμῆς οὑτοσί, πῶς ἱκέτευον τὸν Δία μηκέθ' ἥκειν παρά σε, οὕτω δυσμενῶς μοι προσενηνεγμένον. Ερ. ἀλλὰ νῦν ὁρᾷς ὦ Πλοῦτε, οἷος ἤδη γεγένηται; ὥστε θαρρῶν ξυνδιάτριβε αὐτῷ, καὶ σὺ μὲν σκάπτε ὡς ἔχεις, σὺ δὲ τὸν θησαυρὸν ὑπάγαγε τῇ δικέλλῃ. ὑπακούσεται γὰρ ἐμβοήσαντί σοι. Τί. πειστέον ὦ Ἑρμῆ, καὶ αὖθις πλουτητέον. τί γὰρ ἂν καὶ πάθοι τίς, ὁπόταν οἱ θεοὶ βιάζοιντο; πλὴν ὅρα γε, εἰς οἷα με πράγματα ἐμβαλεῖς τὸν κακοδαίμονα, ὃς ἄχρι νῦν εὐδαιμονέστατα διάγων, χρυσὸν ἄφνω τοσοῦτον λήψομαι οὐδὲν ἀδικήσας, καὶ τοσαύτας φροντίδας ἀναδέξομαι. Ερ. ὑπόστηθι ὦ Τίμων δι' ἐμέ. καὶ εἰ χαλεπὸν τοῦτο, καὶ οὐκ οἰστόν ἐστιν, ὅπως οἱ κόλακες ἐκεῖνοι διαρραγῶσιν ὑπὸ τοῦ φθόνου, ἐγὼ δὲ ὑπὲρ τὴν Αἴτνην ἐς τὸν οὐρανὸν ἀναπτήσομαι.

Πλοῦ. ὁ μὲν ἀπελήλυθεν, ὡς δοκεῖ. τεκμαίρομαι γὰρ τῇ εἰρεσίᾳ τῶν πτερῶν. σὺ δὲ αὐτοῦ περίμενε. ἀναπέμψω γάρ σοι τὸν θησαυρὸν ἀπελθών, μᾶλλον δὲ παῖε. σέ φημι θησαυρὲ χρυσοῦ, ὑπάκουσον Τίμωνι τουτῳί, καὶ πάρασχε σεαυτὸν ἀνελέσθαι. σκάπτε ὦ Τίμων βαθείας καταφέρων, ἐγὼ δὲ ὑμῖν ἀποστήσομαι. Τί. ἄγε δὴ ὦ δίκελλα, νῦν μοι ἐπίρρωσον σεαυτὴν, καὶ μὴ κάμῃς ἐκ τοῦ βάθους τὸν θησαυρὸν εἰς

τοὐμφανὲς περικαλυμμένη· ὦ Ζεῦ τεράστιε, καὶ φίλοι Κορύβαντες, καὶ Ἑρμῆ κερδῷε, πόθεν χρυσίον τοσοῦτον; ἦ που ὄναρ ταῦτά ἐστι, δέδια γοῦν μὴ ἄνθρακας εὕρω ἀνεγρόμενος. ἀλλὰ μὴν χρυσίον ἐστὶν ἐπίσημον, ὑπέρυθρον, βαρὺ, καὶ τὴν πρόσοψιν ὑπερήδιστον. ὦ χρυσὲ δεξίωμα κάλλιστον βροτοῖς, αἰθόμενον γὰρ πῦρ ἅτε διαπρέπεις καὶ νύκτωρ καὶ μεθ' ἡμέραν. ἐλθὲ ὦ φίλτατε, καὶ ἐρασμιώτατε. νῦν πείθομαί γε καὶ Δία ποτὲ γενέσθαι χρυσόν. τίς γὰρ οὐκ ἂν παρθένος ἀναπεπταμένοις τοῖς κόλποις ὑπεδέξατο οὕτω καλὸν ἐραστὴν, διὰ τοῦ τέγους καταρρέοντα; ὦ Μίδα καὶ Κροῖσε, καὶ τὰ ἐν Δελφοῖς ἀναθήματα, ὡς οὐδὲν ἄρα ἦτε ὡς πρὸς Τίμωνα καὶ τὸν Τίμωνος πλοῦτον, ᾧ γε οὐδὲ βασιλεὺς ὁ περσῶν ἴσος. ὦ δίκελλα καὶ φιλτάτη διφθέρα, ὑμᾶς μὲν τῷ Πανὶ τούτῳ ἀναθεῖναι καλόν. αὐτὸς δὲ ἤδη πᾶσαν πριάμενος τὴν ἐσχατιὰν, πυργίον οἰκοδομησάμενος ὑπὲρ τοῦ θησαυροῦ μόνῳ ἐμοὶ ἱκανὸν ἐνδιαιτᾶσθαι, τὸν αὐτὸν καὶ τάφον ἀποθανὼν ἕξειν μοι δοκῶ. δεδόχθω δὲ ταῦτα, καὶ νενομοθετήσθω πρὸς τὸν ἐπίλοιπον βίον, ἀμιξία πρὸς ἅπαντας καὶ ἀγνωσία καὶ ὑπεροψία. φίλος δὲ ἢ ξένος, ἢ ἑταῖρος, ἢ ἐλέου βωμὸς, ὕθλος πολὺς, καὶ τὸ οἰκτεῖραι δακρύοντα, ἢ ἐπικουρῆσαι δεομένῳ, παρανομία καὶ κατάλυσις τῶν ἐθνῶν. μονήρης δὲ ἡ δίαιτα, καθάπερ τοῖς λύκοις. καὶ φί-

λος εἷς Τίμων, οἱ δ' ἄλλοι πάντες ἐχθροὶ καὶ ἐπίβου-
λοι, καὶ τὸ προσομιλῆσαί τινι αὐτῶν μίασμα. καὶ εἴ τι-
να ἴδω μόνον, ἀποφρὰς ἡ ἡμέρα, καὶ ὅλως ἀνδριάν-
των λιθίνων ἢ χαλκῶν μηδὲν ἡμῖν διαφερέτω-
σαν, καὶ μήτε κήρυκα δεχώμεθα παρ' αὐτῶν, μή-
τε σπονδὰς σπενδώμεθα, ἡ ἐρημία δὲ ὅρος ἔστω
πρὸς αὐτούς. φυλέται δὲ καὶ φράτορες καὶ δημό-
ται, καὶ ἡ πατρὶς αὐτή, ψυχρὰ καὶ ἀνωφελῆ ὀνόμα-
τα, καὶ ἀνοήτων ἀνδρῶν φιλοτιμήματα. πλου-
τείτω δὲ Τίμων μόνος, καὶ ὑπεροράτω ἁπάντων,
καὶ τρυφάτω μόνος καθ' ἑαυτὸν, κολακείας καὶ
ἐπαίνων φορτικῶν ἀπηλλαγμένος, καὶ θεοῖς θυέ-
τω καὶ εὐωχείτω, μόνος ἑαυτῷ γείτων καὶ ὅμορος,
ἐκσείων τῶν ἄλλων. καὶ ἅπαξ ἑαυτὸν δεξιώσασθαι
δεδόχθω, ἢν δέῃ ἀποθανεῖν, ἢ αὐτῷ στέφανον ἐπε-
νεγκεῖν. καὶ ὄνομα μὲν ἔστω ὁ μισάνθρωπος ἥδι-
στον. τοῦ τρόπου δὲ γνωρίσματα, δυσκολία καὶ τρα-
χύτης καὶ σκαιότης, καὶ ὀργὴ καὶ ἀπανθρωπία. εἰ
δέ τινα ἴδοιμι ἐν πυρὶ διαφθειρόμενον καὶ σβεν-
νύναι, ἱκετεύοντα πίττῃ καὶ ἐλαίῳ κατασβεν-
νύναι. καὶ ἤν τινα τοῦ χειμῶνος ὁ ποταμὸς παρα-
φέρῃ, ὁ δὲ τὰς χεῖρας ὀρέγων ἀντιλαβέσθαι δέη-
ται, ὠθεῖν καὶ τοῦτον ἐπὶ κεφαλὴν πίπτοντα,
ὡς μηδὲ ἀνακύψαι δυνηθείη. οὕτω γὰρ ἂν τὴν
ἴσην ἀπολάβοιεν. εἰσηγήσατο τὸν νόμον Τίμων Ἐχε-
κρατίδης κολυττεύς, ἐπεψήφισε τῇ ἐκκλησίᾳ



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0189

Τίμων ὁ αὐτὸς, εἴγε ταῦτα ἡμῖν δεδόχθω, καὶ ἀν-
δρικῶς ἐμμένωμεν αὐτοῖς. πλὴν ἀλλὰ περὶ πολ-
λοῦ ἂν ἐποιησάμην ἅπασι γνώριμά πως ταῦτα
γενέσθαι. διότι ὑπερπλουτῶ. ἀγχόνη γὰρ ἂν τὸ πρᾶ-
γμα γένοιτο αὐτοῖς. καίτοι τί τοῦτο; φεῦ τοῦ τάχους,
πανταχόθεν συνθέουσι, κεκονιμένοι καὶ πνευστιῶν-
τες, οὐκ οἶδα ὅθεν ὀσφραινόμενοι τοῦ χρυσίου. πότε-
ρον οὖν ἐπὶ τὸν πάγον τοῦτον ἀναβὰς ἀπελαύνω
αὐτοὺς τοῖς λίθοις ἐξ ὑπερδεξίων ἀκροβολιζόμε-
νος. ἢ τόγε τοσοῦτον παρανομήσομεν εἰσάπαξ αὐ-
τοῖς ὁμιλήσαντες, ὡς πλέον ἀνιῷντο ὑπερορώμενοι;
τοῦτο οἶμαι καὶ ἄμεινον, ὥστε δεχόμεθα ἤδη αὐτοὺς,
ὑποστάντες. φέρε ἴδω τίς ὁ πρῶτος αὐτῶν οὗτός
ἐστι; Γναθωνίδης ὁ κόλαξ, ὁ πρῴην ἔρανον αἰτή-
σαντί μοι ὀρέξας τὸν βρόχον, πίθους ὅλους παρ᾽ ἐμοὶ
πολλάκις ἐμημεκώς. ἀλλ᾽ εὖγε ἐποίησεν ἀφικό-
μενος, οἰμώξεται γὰρ πρὸ τῶν ἄλλων. Γνα. οὐκ ἐγὼ ἔ-
λεγον, ὡς οὐκ ἀμελήσουσι Τίμωνος ἀγαθοῦ ἀνδρὸς
οἱ θεοί; χαῖρε Τίμων εὐμορφώτατε, καὶ ἥδιστε, καὶ
συμποτικώτατε. Τι. νὴ καὶ σύ γε ὦ Γναθωνίδη,
γυπῶν ἁπάντων βορώτατε, καὶ ἀνθρώπων ἐπιτρι-
πτότατε. Γνα. ἀεὶ φιλοσκώμμων σύ γε. ἀλλὰ ποῦ
τὸ συμπόσιον, ὡς καινόν τι σοι ᾆσμα τῶν νεοδιδάκ-
των διθυράμβων ἥκω κομίζων. Τι. καὶ μὴν ἐλε-
γεῖά γε ᾄσῃ μάλα περιπαθῶς ὑπὸ ταύτῃ τῇ δι-
κέλλῃ. Γνα. τί τοῦτο; παίεις ὦ Τίμων; μαρτύρομαι,
ὦ Ἡρά-

ὦ Ἡράκλεις, ἰοὺ ἰού, προκαλοῦμαί σε τραύματος εἰς ἄρειον πάγον. Τί. καὶ μὴν ἄν γε μικρὸν ἐπιβραδύνῃς, φόνου τάχα προκεκλήσομαι. Γνα. μηδαμῶς, ἀλλὰ σύ γε πάντως τὸ τραῦμα ἴασαι μικρὸν ἐπιπάσας τοῦ χρυσίου. δεινῶς γὰρ ἴσχαιμόν ἐστι τὸ φάρμακον. Τί. ἔτι μένεις; Γνα. ἄπειμι, σὺ δὲ οὐ χαιρήσεις οὕτω σκαιὸς ἐκ χρηστοῦ γενόμενος. Τί. τίς οὗτός ἐστιν ὁ προσιών, ὁ ἀναφαλαντίας; Φιλιάδης, κολάκων ἁπάντων ὁ βδελυρώτατος, οὗτος δὲ παρ᾽ ἐμοῦ ἀγρὸν ὅλον λαβών, καὶ τῇ θυγατρὶ προῖκα δύο τάλαντα μισθὸν τοῦ ἐπαίνου, ὁπότε ᾄσαντά με πάντων σιωπώντων μόνος ὑπερεπῄνεσεν, ἐπομοσάμενος ᾠδικώτερον εἶναι τῶν κύκνων, ἐπειδὴ νοσοῦντα πρῴην εἶδέ με, καὶ προσῆλθον ἐπικουρίας δεόμενος, πληγὰς ὁ γενναῖος προσενέτεινε. Φι. ὦ τῆς ἀναισχυντίας, νῦν Τίμωνα γνωρίζετε; νῦν Γναθωνίδης φίλος, καὶ συμπότης; τοιγαροῦν δίκαια πέπονθεν οὕτως ἀχάριστος ὤν. ἡμεῖς δὲ οἱ πάλαι ξυνήθεις, καὶ ξυνέφηβοι, καὶ δημόται, ὅμως μετριάζομεν ὡς μὴ ἐπιπηδᾶν δοκῶμεν. χαῖρε ὦ δέσποτα, καὶ ὅπως τοὺς μιαροὺς τούτους κόλακας φυλάξῃ, τοὺς ἐπὶ τῆς τραπέζης μόνον, τὰ ἄλλα δὲ κοράκων οὐδὲν διαφέροντας, οὐκέτι πιστευτέα τῶν νῦν οὐδενί, πάντες ἀχάριστοι καὶ πονηροί. ἐγὼ δὲ τάλαντόν σοι κομίζων, ὡς ἔχοις πρὸς τὰ κατεπείγοντα χρῆσθαι, καθ᾽ ὁδὸν

ἤδη

ἤδη πλησίον ἤκουσα ὡς πλουτοίης ὑπερμεγέθη τινὰ πλοῦτον. ἥκω τοιγαροῦν ταῦτά σε νουθετήσων, καίτοι σύ γε οὕτω σοφὸς ὤν, οὐδὲν ἴσως δεήσῃ τῶν παρ' ἐμοῦ λόγων, ὃς καὶ τῷ Νέστορι τὸ δέον παραινέσειας ἄν. Τί. ἔσται ταῦτα ὦ Φιλιάδη. πλὴν ἀλλὰ πρόσιθι, ὡς καὶ σὲ φιλοφρονήσομαι τῇ δικέλλῃ. Φι. ἄνθρωποι, κατέαγα τοῦ κρανίου ὑπὸ τοῦ ἀχαρείστου, διότι τὰ συμφέροντα ἐνουθέτουν αὐτόν. Τί. ἰδοὺ τρίτος οὗτος ὁ ῥήτωρ Δημέας προσέρχεται, ψήφισμα ἔχων ἐν τῇ δεξιᾷ, καὶ συγγενὴς ἡμέτερος εἶναι λέγων, οὗτος ἑκκαίδεκα παρ' ἐμοῦ τάλαντα μιᾶς ἡμέρας ἐκτίσας τῇ πόλει. καταδεδίκαστο γάρ, καὶ ἐδέδετο οὐκ ἀποδιδούς, κἀγὼ ἐλεήσας ἐλυσάμην αὐτόν, ἐπειδὴ πρώην ἔλαχε τῇ ἐρεχθηΐδι φυλῇ διανέμειν τὸ θεωρικόν, κἀγὼ προσῆλθον αἰτῶν τὸ γιγνόμενον, οὐκ ἔφη γνωρίζειν πολίτην ὄντα με. Δη. χαῖρε ὦ Τίμων, τὸ μέγα ὄφελος τοῦ γένους, τὸ ἔρεισμα τῶν Ἀθηναίων, τὸ πρόβλημα τῆς Ἑλλάδος, καὶ μὴν πάλαι σε ὁ δῆμος ξυνειλεγμένος καὶ αἱ βουλαὶ ἀμφότεραι περιμένουσι. πρότερον δὲ ἄκουσον τὸ ψήφισμα, ὃ ὑπὲρ σοῦ γέγραφα. Ἐπειδὴ Τίμων ὁ Ἐχεκρατίδου Κολυττεύς, ἀνὴρ οὐ μόνον καλὸς κἀγαθός, ἀλλὰ καὶ σοφός, ὡς οὐκ ἄλλος ἐν τῇ Ἑλλάδι, παρὰ πάντα χρόνον διατελεῖ τὰ ἄριστα πράττων τῇ πόλει, νενίκηκε δὲ πὺξ καὶ πάλην καὶ δρόμον

μον ἐν ὀλυμπίᾳ μιᾶς ἡμέρας, καὶ πλείω ἅρματα, καὶ συνωρίδι πωλικῇ. Τί. ἀλλ' οὐδὲ ἐθεώρησα ἐγὼ πώποτε εἰς ὀλυμπίαν. Δη. τί οὖν; θεωρήσεις ὕστερον. τὰ τοιαῦτα δὲ πολλὰ προσκεῖσθαι ἄμεινον. καὶ ἠρίστευσε δὲ ὑπὲρ τῆς πόλεως πέρυσι πρὸς ἀχαρνέας, καὶ κατέκοψε πελοποννησίων δύο μοίρας. Τί. πῶς; διὰ γὰρ τὸ μὴ ἔχειν ὅπλα, οὐδὲ προεγράφην ἐν τῷ καταλόγῳ. Δη. μέτρια τὰ περὶ σαυτοῦ λέγεις. ἡμεῖς δὲ ἀχάριστοι ἂν εἶμεν ἀμνημονοῦντες. ἔτι δὲ καὶ ψηφίσματα γράφων, καὶ συμβουλεύων, καὶ στρατηγῶν, οὐ μικρὰ ὠφέλησε τὴν πόλιν. ἐπὶ τούτοις ἅπασι δεδόχθαι τῇ βουλῇ, καὶ τῷ δήμῳ, καὶ τῇ ἡλιαίᾳ κατὰ φυλὰς, καὶ τοῖς δήμοις ἰδίᾳ, καὶ κοινῇ πᾶσι, χρυσοῦν ἀναστῆσαι τὸν Τίμωνα παρὰ τὴν Ἀθηνᾶν ἐν τῇ ἀκροπόλει, κεραυνὸν ἐν τῇ δεξιᾷ ἔχοντα, καὶ ἀκτῖνας ἐπὶ τῇ κεφαλῇ, καὶ στεφανῶσαι αὐτὸν χρυσοῖς στεφάνοις ἑπτὰ, καὶ ἀνακηρυχθῆναι τοὺς στεφάνους σήμερον Διονυσίοις τραγῳδοῖς καινοῖς. ἀχθῆναι γὰρ δι' αὐτὸν δεῖ τήμερον τὰ διονύσια. εἶπε τὴν γνώμην Δημέας ὁ ῥήτωρ συγγενὴς αὐτοῦ, ἀγχιστεὺς καὶ μαθητὴς αὐτοῦ ὤν. καὶ γὰρ ῥήτωρ ἄριστος ὁ Τίμων, καὶ τὰ ἄλλα πάντα ὁπόσα ἂν ἐθέλοι. τουτὶ μὲν οὖν σοι τὸ ψήφισμα. ἐγὼ δέ σοι καὶ τὸν υἱὸν ἐβουλόμην ἀγαγεῖν παρὰ σὲ, ὃν ἐπὶ τῷ σῷ ὀνόματι Τίμωνα ὠνόμακα. Τί. πῶς ὦ Δημέα, ὃς οὐδὲ

γεγάμηκας, ὅσα γε καὶ ἡμᾶς εἰδέναι; Δη. ἀλλὰ γαμῶ, ἢν διδῷ θεὸς ἐν νέωτα, καὶ παιδοποιήσομαι, καὶ τὸ γεννηθησόμενον, ἄρρεν γὰρ ἔσται, Τίμωνα ἤδη καλῶ. Τί. οὐκ οἶδα εἰ γαμήσεις ἔτι ὦ οὗτος, τηλικαύτην παρ' ἐμοῦ πληγὴν λαμβάνων. Δη. οἴμοι, τί τοῦτο; τυραννίδι Τίμων ἐπιχειρεῖς, καὶ τύπτεις τοὺς ἐλευθέρους, οὐ καθαρῶς ἐλεύθερος, οὐδ' ἀστὸς ὤν; ἀλλὰ δώσεις ἐν τάχει τὴν δίκην, τά τε ἄλλα, καὶ ὅτι τὴν ἀκρόπολιν ἐνέπρησας. Τί. ἀλλ' οὐκ ἐμπέπρησται ὦ μιαρὲ ἡ ἀκρόπολις, ὥστε δῆλος εἶ συκοφαντῶν. Δη. ἀλλὰ καὶ πλουτεῖς, τὸν ὀπισθόδομον διορύξας. Τί. οὐ διώρυκται οὐδὲ οὗτος, ὥστε ἀπίθανά σου καὶ ταῦτα. Δη. διορυχθήσεται μὲν ὕστερον, ἤδη δὲ σὺ πάντα τὰ ἐν αὐτῷ ἔχεις. Τί. οὐκοῦν καὶ ἄλλην λάμβανε. Δη. οἴμοι τὸ μετάφρενον. Τί. μὴ κέκραχθι. κατοίσω γάρ σοι καὶ τρίτην, ἐπεὶ καὶ γελοῖα πάμπαν πάθοιμι, δύο μὲν Λακεδαιμονίων μοίρας κατακόψας ἄνοπλος, ἓν δὲ μιαρὸν ἀνθρώπιον μὴ ἐπιτρίψας. μάτην γὰρ ἂν εἴην καὶ νενικηκὼς ὀλύμπια πὺξ καὶ πάλην. ἀλλὰ τί τοῦτο; οὐ Θρασυκλῆς ὁ φιλόσοφος οὗτός ἐστιν; οὐ μὲν οὖν ἄλλος. ἐκπετάσας γοῦν τὸν πώγωνα, καὶ τὰς ὀφρῦς ἀνατείνας, καὶ βρενθυόμενός τι πρὸς αὑτὸν ἔρχεται, τιτανῶδες βλέπων, ἀνασεσοβημένος τὴν ἐπὶ τῷ μετώπῳ κόμην, Αὐτοβορέας

ρέας τις ἢ Τρίτων, οἵους ὁ Ζεῦξις ἔγραφεν. οὗτος ὁ τὸ σχῆμα εὐσταλὴς, καὶ κόσμιος τὸ βάδισμα, καὶ σωφρονικὸς τὴν ἀναβολὴν, ἕωθεν μυρία ὅσα περὶ ἀρετῆς διεξιὼν, καὶ τῶν ἡδονῇ χαιρόντων κατηγορῶν, καὶ τὸ ὀλιγαρκὲς ἐπαινῶν, ἐπειδὴ λουσάμενος ἀφίκοιτο ἐπὶ τὸ δεῖπνον, καὶ ὁ παῖς μεγάλην τὴν κύλικα ὀρέξειεν αὐτῷ, τῷ ζωροτέρῳ δὲ χαίρει μάλιστα, καθάπερ τὸ λήθης ὕδωρ ἐκπιὼν, ἐναντιώτατα ἐπιδείκνυται τοῖς ἑωθινοῖς ἐκείνοις λόγοις, προαρπάζων ὥσπερ ἰκτῖνος τὰ ὄψα, καὶ τὸν πλησίον παραγκωνιζόμενος, καρύκης τὸ γένειον ἀνάπλεως, κυνηδὸν ἐμφορούμενος, ἐπικεκυφὼς, καθάπερ ἐν ταῖς λοπάσι τὴν ἀρετὴν εὑρήσειν προσδοκῶν. ἀκριβῶς τὰ τρύβλια τῷ λιχανῷ ἀποσμήχων, ὡς μηδὲ ὀλίγον τοῦ μυττωτοῦ καταλίποι, μεμψίμοιρος ἀεὶ ὡς τὸν πλακοῦντα ὅλον, ἢ τὸν σῦν μόνος τῶν ἄλλων λάβοι, ὅτι περ λιχνείας καὶ ἀπληστίας ὄφελος, μέθυσος καὶ πάροινος, οὐκ ἄχρις ᾠδῆς καὶ ὀρχηστύος μόνον, ἀλλὰ καὶ λοιδορίας καὶ ὀργῆς προσέτι, καὶ λόγοι πολλοὶ ἐπὶ τῇ κύλικι, τότε δὴ καὶ μάλιστα περὶ σωφροσύνης καὶ κοσμιότητος, καὶ ταῦτά φησιν ἤδη ὑπὸ τοῦ ἀκράτου πονήρως ἔχων, καὶ ὑποτραυλίζων γελοίως. εἶτα ἔμετος ἐπὶ τούτοις, καὶ τὸ τελευταῖον ἀράμενοί τινες ἐκφέρουσιν αὐτὸν ἐκ τοῦ συμποσίου

διαυληρίδος ἀμφοτέραις ἐμπεπλησμένος. πλὴν ἀλλὰ καὶ νήφων, οὐδενὶ τῶν πρωτείων παραχωρήσειεν ἂν ψεύσματος ἕνεκα, ἢ θρασύτητος, ἢ φιλαργυρίας. ἀλλὰ καὶ κολακεύων δεινὰ τὰ πρῶτα, καὶ ἐπιορκεῖ προχειρότατα, καὶ ἡ γοητεία προηγεῖται, καὶ ἡ ἀναισχυντία παρομαρτεῖ. καὶ ὅλως πάνσοφον τὸ χρῆμα, καὶ πανταχόθεν ἀκριβὲς, καὶ ποικίλως ἐντελὲς. οἰμώξεται τοιγαροῦν οὐκ εἰς μακρὰν χρηστὸς ὤν. τί τοῦτο; παπαὶ, χρόνιος ἡμῖν Θρασυκλῆς. Θρα. οὐ κατὰ ταὐτὰ ὦ Τίμων τοῖς πολλοῖς τούτοις ἀφῖγμαι, ὥσπερ οἱ τὸν πλοῦτόν σου τεθηπότες, ἀργυρίου καὶ χρυσίου καὶ δείπνων πολυτελῶν ἐλπίδι συνδεδραμήκασι, πολλὴν τὴν κολακείαν ἐπιδειξάμενοι πρὸς ἄνδρα οἷον σὲ ἁπλοϊκὸν, καὶ τῶν ὄντων κοινωνικόν. οἶσθα γὰρ ὡς μᾶζα μὲν ἐμοὶ δεῖπνον ἱκανὸν, ὄψον δὲ ἥδιστον, θύμον ἢ κάρδαμον, ἢ εἴποτε τρυφῴην ὀλίγον τῶν ἁλῶν. ποτὸν δὲ ἡ ἐννεάκρουνος. ὁ δὲ τρίβων οὗτος, ἧς βούλει πορφυρίδος ἀμείνων. τὸ χρυσίον μὲν γὰρ οὐδὲν τιμιώτερον τῶν ἐν τοῖς αἰγιαλοῖς ψηφίδων μοι δοκεῖ, σοῦ δὲ αὐτοῦ χάριν ἐστάλην, ὡς μὴ διαφθείρῃ σε τὸ κάκιστον τοῦτο καὶ ἐπιβουλότατον κτῆμα ὁ πλοῦτος, ὁ πολλοῖς πολλάκις αἴτιος ἀνηκέστων συμφορῶν γεγενημένος. εἰ γάρ μοι πείθοιο, μάλιστα ὅλον εἰς τὴν θάλατταν ἐμβαλεῖς αὐτὸν, οὐδὲν ἀναγκαῖον ἀνδρὶ ἀγαθῷ

ἀγαθῷ ὄντι, καὶ τὸν φιλοσοφίας πλοῦτον ὁρᾶν δυναμένῳ. μὴ μὲν τι ἐς βάθος ὦ 'γαθὲ, ἀλλ' ὅσον ὑπὸ βουβῶνας ἐπεμβὰς, ὀλίγον πρὸ τῆς κυματώδους γῆς, ἐμοῦ ὁρῶντος μόνου. εἰ δὲ μὴ τοῦτο βούλει, σὺ δὲ ἄλλον τρόπον ἀμείνω κατὰ τάχος ἐκφόρησον αὐτὸν ἐκ τῆς οἰκίας, καὶ μηδ' ὀβολὸν αὐτῷ ἀνεὶς, διαδιδοὺς ἅπασι τοῖς δεομένοις, ᾧ μὲν ε΄ δραχμὰς, ᾧ δὲ μνᾶν, ᾧ δὲ τάλαντον. εἰ δέ τις φιλόσοφος εἴη, διμοιρίαν, ἢ τριμοιρίαν φέρεσθαι δίκαιος. ἐμοὶ δὲ, καί τοι οὐκ ἐμαυτοῦ χάριν αἰτῶ, ἀλλ' ὅπως μεταδῶ τῶν ἑταίρων τοῖς δεομένοις, ἱκανὸν εἰ ταύτην τὴν πήραν ἐμπλήσας παράσχοις, οὐδὲ ὅλους δύο μεδίμνους χωροῦσαν Αἰγινητικούς. ὀλιγαρκῆ δὲ καὶ μέτριον χρὴ εἶναι τὸν φιλοσοφοῦντα, καὶ μηδὲν ὑπὲρ τὴν πήραν φρονεῖν.

Τί. ἐπαινῶ ταῦτά σου ὦ Θρασύκλεις. πρὸ γοῦν τῆς πήρας εἰ δοκεῖ, φέρε σοι τὴν κεφαλὴν ἐμπλήσω κονδύλων, ἐπιμετρήσας τῇ δικέλλῃ. Θρα. ὦ δημοκρατία, καὶ νόμοι, παιόμεθα ὑπὸ τοῦ καταράτου ἐν ἐλευθέρᾳ τῇ πόλει. Τί. τί ἀγανακτεῖς ὦ 'γαθὲ Θρασύκλεις; μῶν παρακέκρουσμαί σε; καὶ μὴν ἐπεμβαλῶ χοίνικας ὑπὲρ τὸ μέτρον τέτταρας. ἀλλὰ τί τοῦτο; πολλοὶ ξυνέρχονται. Βλεψίας ἐκεῖνος, καὶ Λάχης, καὶ Γνίφων, καὶ ὅλως τὸ σύνταγμα τῶν οἰμωξομένων. ὥστε τί οὐκ ἐπὶ τὴν πέτραν ταύτην ἀνελθὼν, τὴν μὲν δί-

κελλαν ὀλίγον ἀναπαύω, πάλαι πεπονηκυῖαν·
αὐτὸς δὲ ὅτι πλείστους λίθους ξυμφορήσας, ἐπιχα-
λαζῶ πόῤῥωθεν αὐτούς; Βλε. μὴ βάλλε ὦ Τί-
μων, ἄπιμεν γάρ. Τί. ἀλλ᾽ οὐκ ἀναιμωτί γε ὑ-
μεῖς, οὐδὲ ἄνευ τραυμάτων.

Τέλος.

BASILEAE APVD IOAN.
Oporinum, Anno M. D. XLV.
Mense Februario.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0200

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0201

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0202

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0203

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0204

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0205

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0206

154707
(X 22043-19)

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0207

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0208

# ΛΟΥΚΙΑΝΟΥ ΣΑ
## ΜΟΣΑΤΕΩΣ ΔΙΑΛΟΓΟΙ ΟΥ-
ῥάνιοι, ἐνάλιοι, καὶ νεκρικοί.

LVCIANI SAMOSATENSIS
Dialogi Cœleſtes, Marini, & Inferni, poë
ticarum fabularum ſylua, quibus nihil
hoc ſaltem in genere utilius prælegi pue-
ris in ſcholis poteſt: adiectis etiam pro-
pter ſingularem quandam elegan-
tiam, eiuſdem Menippo
& Timone.

SEB. HEYDEN LECTORI.

*Qui non Græca ſimul iungit documenta Latinis,*
*Is uerè docti nomen habere nequit.*
*Ergo puer paruo coëmas hunc ære libellum,*
*Quo bene percepto, tum quoq; Græca ſcies.*

BASILEAE.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24681/fragment/page=0209